Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Dilexisti iustitiam, & odisti iniquitatem, propterea vnxit te Deus, Deus tuus oleo lætitiæ præ consortibus tuis.

Σμύρνα, καὶ στακτὴ, καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βαρέων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.

Myrrha, & gutta, & casia à vestimentis tuis à domibus eburneis, ex quibus delectauerunt te filiæ regum in honore tuo.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱμα-

Astitit regina à dextris tuis in vesti-

vestitu deaurato, circundata varietate.

Audi filia & vide, & inclina aurem tuam, & obliuiscere populũ tuum, & domum patris tui.

Et concupiscet rex decorem tuum, quoniam ipse est dominus deus tuus, & adorabis eum.

Et filiæ Tyri in muneribus, vultum tuum deprecabuntur omnes diuites plebis.

Omnis gloria filiæ regis ab intus, in fimbriis aureis, circumamicta varietatibus.

Adducentur regi virgines post eam, proximæ eius afferen-

ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.

Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.

Καὶ θυγατέρες Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς αἱ πλησίον αὐτῆς ἀπενεχθή-

σονταί σοι.

Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.

Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Μνησθήσονται τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα πατρί.

Ἀντίφωνον Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ καὶ βασίλευε.

Ἀντίφωνον.

Βοηθήσει.

Ψαλ

rentur tibi.

Afferentur in lætitia & exultatione adducentur in templum regis.

Pro patribus tuis nati sunt tibi filij, constitues eos principes super omnem terram.

Memores erunt nominis tui domine, in omni generatione & generatione.

Propterea populi cõfitebuntur tibi in æternum, & in seculum seculi.

Gloria patri. anti. Specie tua & pulchritudine tua, intende prospere, procede, & regna.

Antiphona.

Adiuuabit.

Psal-

Psalmus λϛ

Deus noster refugiũ & virtus: adiutor in tribulationibus, quæ inuenerunt nos nimis.

Propterea non timebimus dum turbabitur terra, & transferentur montes in cor maris.

Sonuerunt & turbatæ sunt aquæ eorum conturbati sunt montes in fortitudine eius.

Fluminis impetus lætificat ciuitatem dei sanctificauit tabernaculum suum altißimus.

Deus in medio eius & non commouebitur: ad iuuabit eum deus mane diluculo.

Con

Ψαλ. ...

Ο θεὸς ἡμῶν καταφυγὴ, καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμῶν σφόδρα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ

Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.

Ο θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωὶ πρωΐ.

Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ.

Conturbatæ sunt gentes, & inclinata sunt regna: dedit vocem suam altißimus, mota est terra.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.

Dominus virtutum nobiscum: susceptor noster deus Iacob.

Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

Venite & videte opera domini quæ posuit prodigia super terram, auferẽs bella vsque ad finem terræ.

Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Arcum conteret, & confringet arma & scuta comburet igni.

Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Vacate & videte quoniam ego sum Deus, exaltabor in gentibus, & exaltabor in terra.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντι-

Dominus virtutum nobiscum, susceptor no-

noster deus Iacob.
Gloria patri & filio, & spiritui sancto. Antiphona.
Adiuuabit eam de⁹ vultu suo, deus in medio eius, & non commouebitur.
Antiphona Sicut lætantium.

Psalmus 86.

Fundamenta eius in montibus sanctis, diligit dominus portas Siō super omnia tabernacula Iacob.
Gloriosa dicta sunt de te ciuitas dei.
Memor ero Rhaab & Babylonis, scientium me
Ecce alienigenæ, & Tyrus, & populus Aethiopum hi fuerunt illic.

πλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.
Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Ἀντί.
Βοηθήσει αὐτῇ ὁ θεὸς τῷ προσώπῳ αὐτοῦ, ὁ θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. Ἀντί.
Ὡς εὐφραινομένων.

Ψαλμὸς πς.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, ἀγαπᾷ κύριος τὰς πύλας σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ θεοῦ.
Μνησθήσομαι Ῥαὰβ καὶ βαβυλῶνος, τοῖς γινώσκουσί με.
Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ τύρος, καὶ λαὸς τῶν αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.

Μήτηρ Σιὼν ἐρεῖ, ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.

Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ.

Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Δόξα πατρί. Ἀντί. Ὡς εὐφραινομένων πάντων ἡμῶν ἡ κατοικία ἐν σοὶ θεοτόκε ὑπεραγία

Στίχος. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Ἀποκρισις. Διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Πάτερ ἡμῶν.

Ταῖς δεήσεσι, καὶ ταῖς χάρισι. τὰ ἑξῆς. ὡς ἀνωτέρω.

Ὁ ψαλμὸς οὗτος, καὶ

Nunquid Sion dicet homo, & homo natus est in ea, & ipse fundauit eam altissimus?

Dominus narrabit in scripturis populorum, & principũ horum qui fuerunt in ea.

Sicut lætantium omniũ habitatio est in te. Gloria patri. Antip. Sicut lætantium omnium nostrum habitatio est in te sancta dei genitrix. Versus. Diffusa est gratia in labiis tuis. Responsorium. Propterea benedixit te deus in æternum. Pater noster &c. Precibus & meritis. & ut suprà. Iste psalmus &

& alij duo sequentes cũ suis antiphonis dicuntur diebus Mercurij & sabbati. Ad matutinum añа Gaude virgo *Maria. Psal. 95.*

Cantate domino canticũ nouum, cantate domino omnis terra.

Cantate domino & benedicite nomini eius, annunciate de die in diem salutare eius.

Annunciate inter gẽtes gloriam eius in omnibus populis mirabilia eius.

Quoniam magnus dñs & laudabilis nimis, terribilis est super omnes deos.

Quoniã omnes dij gentium dæmonia, domi-

καὶ οἱ ἑξῆς δύο λέγονται τῇ δ', καὶ τῷ σαββάτῳ εἰς τὴν ὄρθρον. Ἀντίφ. Χαῖρε παρθένε Μαρία.

Ψαλμὸς ϟέ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ.

Ἄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

Ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς.

Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια,

ὁ δὲ κύριος τοὺς οὐρα-
νοὺς ἐποίησεν.
Ἐξομολόγησις καὶ ὡ-
ραιότης ἐνώπιον αὐ-
τοῦ, ἁγιωσύνη καὶ με-
γαλοπρέπεια ἐν τῷ
ἁγιάσματι αὐτοῦ.
Ἐνέγκατε τῷ κυρίῳ
αἱ πατριαὶ τῶν ἐθνῶν,
ἐνέγκατε τῷ κυρίῳ
δόξαν καὶ τιμήν, ἐνέγ-
κατε τῷ κυρίῳ δό-
ξαν ὀνόματι αὐτοῦ.
Ἄρατε θυσίας, καὶ
εἰσπορεύεσθε εἰς τὰς
αὐλὰς αὐτοῦ, προσ-
κυνήσατε τῷ κυρίῳ
ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
Σαλευθήτω ἀπὸ προ-
σώπου αὐτοῦ πᾶσα
ἡ γῆ, εἴπατε ἐν τοῖς
ἔθνεσιν ὅτι κύριος ἐ-
βασίλευσε.
Καὶ γὰρ κατώρθωσε
τὴν οἰκουμένην ἥτις
οὐ σαλευθήσεται,
κρι-

*dominus autem cæ-
los fecit.
Confeßio & pul-
chritudo in conspe-
ctu eius, sanctimo-
nia & magnificen-
tia in sanctificatio-
ne eius.
Afferte domino pa-
triæ gentium, affer-
re domino gloriam
& honorem, afferte
domino gloriam no-
mini eius.
Tollite hostias, &
introite in atria e-
ius, adorate dominum in
atrio sancto eius.
Commoueatur à
facie eius vniuersa
terra, dicite in gen-
tibus quia dominus
regnauit.
Etenim correxit
orbem terræ, qui
non commouebitur:
iudi-*

iudicabit populos in æquitate.

Lætentur cœli, & exultet terra, commoueatur mare & plenitudo eius. gaudebunt campi, & omnia quæ in eis sunt.

Tunc exultabunt omnia ligna syluarum à facie domini quia venit, quoniam venit iudicare terram.

Iudicabit orbẽ terræ in æquitate, & populos in veritate sua.

Gloria patri.

Aña. Gaude virgo Maria, cunctas hæreses sola interemisti in vniuerso mundo. *Antiphona.*

Dignare me.

Psal-

κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Εὐφρανέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Δόξα. Ἀντίφωνον.

Χαῖρε παρθένε Μαρία, ἡ μόνη τὰς αἱρέσεις ἁπάσας ἀφανίσασα ἐν παντὶ τῷ σμῳ. Ἀντίφωνον.

Ἀξίωσόν με.

Ψαλ-

Ψαλμὸς ϛϛ. Psalmus 96

Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.

Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωμα τοῦ θρόνου αὐτοῦ.

Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυρίου, ἀπὸ προσώπου κυρίου πάσης τῆς γῆς.

Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἶδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

Dominus regnauit exultet terra, lætentur insulæ multæ.

Nubes & caligo in circuitu eius, iustitia & iudiciũ correctio sedis eius.

Ignis ante ipsum præcedet, & inflammabit in circuitu inimicos eius.

Alluxerunt fulgura eius orbi terræ, vidit & commota est terra.

Montes sicut cera fluxerunt à facie domini, à facie domini omnis terræ.

Annunciauerũt cœli iustitiam eius, & viderunt omnes populi gloriam eius.

Confundantur omnes qui adorant sculptibilia, & qui gloriantur in simulachris suis.

Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.

Adorate eum omnes angeli eius, audiuit & lætata est Sion.

Προσκυνήσατε αὐτῷ πάντες οἱ ἄγγελοι αὐτοῦ, ἤκουσε καὶ εὐφράνθη Σιών.

Et exultauerunt filiæ Iudææ, propter iudicia tua domine.

Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου κύριε.

Quoniam tu dominus altissimus super omnem terram nimis exaltatus es super omnes deos.

Ὅτι σὺ κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.

Qui diligitis dominum, odite malum: custodit dominus animas sanctorum suorum, de manu peccatoris liberabit eos.

Οἱ ἀγαπῶντες τὸν κύριον, μισεῖτε πονηρά, φυλάσσει κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς.

Lux Φῶς

Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Εὐφράνθητε δίκαιοι ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τὴν μνήμην τῆς ἁγιωσύνης αὐτοῦ. Δόξα πατρί.

Ἀντίφωνον. Ἀξίωσόν με ὑμνῆσαί σε καθιερωμένη παρθένε, δός μοι δύναμιν κατὰ τῶν ἐχθρῶν σου. Ἀντίφωνον. Μετὰ τόκον.

Ψαλμὸς ϟζ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος.

Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπε-

Lux orta est iusto & rectis corde lætitia.

Lætamini iusti in domino, & confitemini memoriæ sanctificationis eius.

Gloria patri.

Antiphona Dignare me laudare te virgo sacrata: da mihi virtutem contra hostes tuos. Antipho. Post partum.

Psalmus 97.

Cantate dño cãticũ nouũ quia mirabilia fecit.

Saluauit sibi dextera eius, & brachium sanctũ eius.

Notum fecit dominus salutare, suum, in conspectu gen-

tium reuelauit iustitiam suam.

κάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Recordatus est misericordiæ suæ, & veritatis suæ domui Israël.

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ ἰσραήλ.

Viderunt omnes termini terræ salutare dei nostri.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν.

Iubilate Domino omnis terra, cantate & exultate, & psallite.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε.

Psallite domino in cithara, in cithara & voce psalmi, in tubis ductilibus, & voce tubæ corneæ.

Ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης.

Iubilate in conspectu regis domini, moueatur mare, & plenitudo eius, orbis terrarum, & qui habitant in eo.

Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίου, σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ, τὰ ὄρη ἀγαλλιάσεται ἀπὸ προσώπου κυρίου ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι. Δόξα πατρί. Ἀντίφω. Μετὰ τόκον παρθένος ἄφθορος διέμεινας, θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν. Στίχος. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Ἀπό. Διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Πάτερ ἡμῶν.

Flumina plaudent manu simul, mõtes exultabunt à cõspectu domini quia venit, quoniam venit iudicare terram. Iudicabit orbẽ terrarum in iustitia, & populos in æquitate. Gloria patri. Antipho. *Post partum virgo inuiolata permansisti. Deo genitrix intercede pro nobis.* Versus. *Diffusa est gratia in labiis tu's.* Res. Propterea benedixit te Deus in æternum. Pater noster.

Εἰς τὸν ἑσπερινὸν τοῦ πρώτου σαββάτου ἀπὸ τῆς παρουσίας μέχρι τῆς παραμονῆς τῆς τοῦ κυρίου γεννήσεως;

Ad vesperas primi Sabbati de Aduentu domini vsque ad vigiliam natiuitatis Domini agitur

agitur officiũ beatæ Mariæ virginis modo subscripto.

Sabbato ante primam dominicã de aduentu ad vesperas.

Deus in adiutorium meum. *Antiphona.* Missus est angelus Gabriel. *&c. cum reliquis de laudibus.*

Psalmus.

Dixit dominus.

Laudate pueri. *cum reliquis psalmis.*

Capitulum.

EGredietur virga de radice Iessæ, & flos de radice eius ascẽdet, & requiescet super eum spiritus domini.

Deo gratias.

Hym-

τελᾶται ἡ ἀκολουθία τῆς μακαρίας παρθένου Μαρίας τῷ ὑπογεγραμμένῳ τρόπῳ.

Τῷ σαββάτῳ πρὸ τῆς ἀπὸ τῆς παρουσίας πρώτης κυριακῆς εἰς τὸν ἑσπερινόν.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου. Ἀντίφω. Ἀπεστάλη ὁ ἄγγελος Γαβριήλ. καὶ τὰ ἑξῆς, σὺν τοῖς λοιποῖς ἐκ τῶν αἴνων. Ψαλ.

Εἶπεν ὁ κύριος. Αἰνεῖτε παῖδες, σὺν τοῖς λοιποῖς.

Κεφάλαιον.

Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα θεοῦ.

Τῷ θεῷ χάριτας.

Ὁ

Ὁ ὕμνος. Χαῖρε θαλάσσης ἄστρον. Στίχος. Ἐξεχύθη. Ἀπόκρισις. Διὰ τοῦτο. Εἰς τὸ μεγαλύνει. Ἀντίφωνον. Πνεῦμα ἅγιον ἐπὶ σὲ καταλεύσεται Μαρία, μὴ φοβοῦ, ἕξεις γὰρ ἐν γαστρὶ τὸν υἱὸν τοῦ θεοῦ ἀλληλούϊα. Κύριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύριε ἐλέησον. Κύριε εἰσάκουσον. Καὶ ἡ κραυγή.

Hymnus. Aue maris stella. *Versus.* Diffusa est. *Responsorium.* Propterea. *Ad magnificat Antiphona.* Spiritus sanctus in te descendet Maria, ne timeas habebis in vtero filium Dei Alleluia. Kyrie eleison. Christe eleison. Kyrie eleison. Domine exaudi. Et clamor.

Εὐχή.

Ὁ Θεὸς ὁ ἐκ γαστρὸς τῆς μακαρίας παρθένου Μαρίας. καὶ τὰ ἑξῆς. Ἀντίφ. Ἰδοὺ κύριος ἥξει, καὶ πάντες οἱ ἅγιοι αὐτοῦ σὺν αὐτῷ, καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ φῶς μέγα Ἀλληλούϊα. Στί-

Oratio.

Deus qui de beatæ Mariæ virginis vtero, &c. *Ant.* Ecce dominus veniet, & omnes sancti eius cum eo, & erit in die illa lux magna. Alleluia. Ver-

Verſus. Ecce apparebit dominus ſuper nubem candidam. *Reſponſorium.* Et cum eo ſanctorum millia.

Oratio.

Conſcietias noſtras quæſumꝰ domine viſitãdo purifica, vt veniens Ieſus Chriſtus filius tuus dominus noſter cum omnibus ſanctis, paratã ſibi in nobis inueniat manſionẽ. Qui tecũ viuit & regnat in ſecula ſeculorũ. Amẽ.

Ad completorium. Conuerte nos. &c. *Pſalmus.* Sæpe expugnauerunt. De profundis. Domine non eſt exaltatum. Hym-

Στίχος. Ἰδοὺ ὀφθήσεται κύριος ἐπὶ νεφέλης κούφης. Ἀπό. Καὶ σὺν αὐτῷ χιλιάδες ἁγίων.

Εὐχή.

Τὰς συνειδήσεις ἡμῶν δεόμεθα κύριε ἐπισκεπτόμενος κάθαρον, ἵνα παραγενόμενος Ἰησοῦς Χριστὸς ὁ υἱός σου κύριος ἡμῶν μετὰ πάντων τῶν ἁγίων, ἕτοιμον ἑαυτῷ ἐν ἡμῖν εὑρήσῃ μονήν, ὃς ζῇ μετὰ σοῦ καὶ βασιλεύει εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Εἰς τὸ ἀπόδειπνον. Ἐπίστρεψον ἡμᾶς. καὶ τὰ ἑξῆς Ψαλ. ρκή. Πλεονάκις ἐπολέμησαν. Ἐκ βαθέων. Κύριε οὐχ ὑψώθη. Ὕμ-

Ὕμνος. Ὦ σωτηρίας αὐτουργέ. Κεφαλ. Ἰδοὺ ἡ παρθένος. καὶ τὰ ἑξῆς. Στίχ. Ἄγγελος κυρίου εὐηγγελίσατο τῇ Μαριάμ. Ἀπόκ. Καὶ συνέλαβεν ἐξ ἁγίου πνεύματος. Ἀντιφ. Πνεῦμα ἅγιον. ὡς ἀνωτέρω ἐν τοῖς ἑσπερινοῖς περὶ τῆς παρουσίας. Ψαλ. Νῦν ἀπολύεις. Εἰς τὸν ὄρθρον πάντα λέγεται ὥσπερ πρὸ τῆς τοῦ κυρίου παρουσίας, μέχρι τῶν ἀναγνώσεων, πλὴν τῆς ἀντιφ. τοῦ θ΄. ψαλ. Καὶ ὅπου ἀντὶ τούτου λέγεται. Μετὰ δὲ κύησιν λέγεται ἀντίφ. Ἄγγελος. Καὶ ἀντὶ τῶν ἐκείνων ἀναγνώσεων, τουτέστι, Ἐν πᾶσιν ἀνάπαυσιν. Καὶ οὕτως ἐν Σιών.

Hymnus. Memento *salutis.* Capitulum. Ecce virgo. &c. *Versus.* Angelus domini nunciauit Mariæ. *Responsorium.* Et concepit de spiritu sancto. *Antiphona.* Spiritus sanctus, *vt supra in vesperis de aduentu. Psalmus.* Nunc dimittis. *Ad matutinas omnia dicuntur sicut ante aduentum domini vsque ad lectiones, excepta antiphona noni psalmi. Et loco eius vbi dicitur.* Post partum, *dicitur antiphona* Angelus *Et loco aliarum lectionum, scilicet.* In omnibus requiem. Et sic in Sion.

Sion &c, Quasi cedrus, dicuntur lectiones quae sequuntur.

Lectio prima.

Missus est angel' Gabriel à deo in ciuitatem Galilaeae, cui nomen Nazareth, ad virginem desponsatam viro, cui nomē erat Ioseph, de domo David, & nomen virginis, Maria Et ingressus angelus ad eam, dixit: Aue gratia plena, dominus tecum, benedicta tu in mulieribus. Tu autem domine miserere nostri. Deo gratias. Antipho. Missus est Gabriel angelus ad Mariam virginem de-

Σιών Ὡς κέδρος λέγονται ἀναγνώσεις αἱ ἑξῆς.

Ἀνάγνωσις α.

Ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲθ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβὶδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε: Χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξί. Σὺ δὲ κύριε ἐλέησον ἡμᾶς. Τῷ θεῷ χάριτας. Ἀντίφωνον. Ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς Μαριὰμ τὴν παρ-

παρθένον μεμνηστευμένην τῷ Ἰωσὴφ, μηνύων αὐτῇ τὸν λόγον, καὶ ἐξεπλάγη ἡ παρθένος ἀπὸ τοῦ φωτός. μὴ φοβοῦ Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ. ἰδοὺ συλλήψῃ καὶ τέξῃ υἱόν, καὶ κληθήσεται ὑψίστου υἱός. Στίχ. Δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας. ἰδοὺ συλλήψῃ.

Ἀνάγνωσις β.

Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ, μὴ φοβοῦ Μαριάμ, εὗρες

γὰ

desponsatam Ioseph, nuncians ei verbum. & expauit virgo de lumine. ne timeas Maria, inuenisti enim gratiam apud dominum. Ecce concipies & paries filium, & vocabitur altißimi filius. Versus. *Dabit ei dominus deus sedem Dauid patris eius, & regnabit in domo Iacob in aeternum. Ecce concipies.*

Lectio secunda.

Quae cũ audisset, turbata est ĩ sermone ei⁹ & cogitabat qualis esset ista salutatio. Et ait angelus ei: Ne timeas Maria: inue-

nisti

nisti enim gratiam apud deũ. Ecce *concipies in vtero, & paries filium, & vocabis nomen eius Iesum.* Hic *erit magnus, & filius altißimi vocabitur. Et dabit illi dominus deus sedem* Da*uid patris eius, & regnabit in domo Iacob in æternũ, & regni eius non erit finis.* Tu *autem domine miserere nostri.* Deo *gratias.*

Respon. Aue Maria *gratia plena, dominus tecum. Spiritus sanctus supueniet in te, & virtus altissimi obumbrabit tibi: quod enim ex te nascetur sanctũ, vocabitur filius dei.*

γὰρ χάριν παρὰ τῷ θεῷ. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Σὺ δὲ κύριε ἐλέησον ἡμᾶς. Τῷ θεῷ χάριτας.

Ἀπόκρι. Χαῖρε κεχαριτωμένη Μαρία ὁ κύριος μετὰ σοῦ. Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, τὸ δὲ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θεοῦ.

Στίχος. Πῶς ἔσαι τοῦτο; ἐπεὶ ἄνδρα οὐ γνόσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, πνεῦμα ἅγιον.

Ἀνάγνωσις γ

ΕἾπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, πῶς ἔσαι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γνώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θεοῦ. καὶ ἰδοὺ Ἐλιζαβὲτ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμέ-

Verſ. *Quomodo fiet iſtud, quoniam virum non cognoſco? Et reſpondens angelus dixit ei: Spiritus ſanctus.*

Lectio tertia.

DIxit autē Maria ad angelum: Quomodo fiet iſtud, quoniam virum non cognoſco? Et reſpondens angelus dixit ei: Spiritus ſanctus ſuperueniet in te, & virtus altiſsimi obumbrabit tibi. Ideóque & quod naſcetur ex te ſanctum, vocabitur filius dei. Et ecce Elizabet cognata tua, & ipſa concepit filium in ſenectute ſua. Et hic mēſis eſt ſext⁹ illi quae voca-

vocatur sterilis, quia non erit impossibile apud deũ omne verbũ. Dixit aũt Maria: Ecce ancilla domini, fiat mihi secundũ verbũ tuũ. Tu aũt domine miserere nostri. Deo gratias. Resp. Suscipe verbum virgo Maria, quod tibi à domino per angelũ transmissum est: ecce concipies deũ pariter & hominem, Vt benedicta dicaris inter omnes mulieres. Versus. Paries quidem filium, & virginitatis nõ patieris detrimentũ: efficieris grauida, & eris mater semper intacta. Vt bñdicta dicaris, etc.

μένη στεῖρα, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα. εἶπε δὲ Μαριάμ, Ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Σὺ δὲ κύριε ἐλέησον ἡμᾶς, Τῷ θεῷ χάριτας. Ἀπό. Ὑπόδεξαι τὸ παρὰ τοῦ κυρίου διάπεμφθὲν σοι ῥῆμα δι᾽ ἀγγέλου παρθένε Μαρία, ἰδοὺ συλλήψῃ θεὸν ὁμόυ τε καὶ ἄνθρωπον, ἵνα εὐλογημένη κληθῇς ἐν πάσαις ταῖς γυναιξί. Στίχος. Συλλήψῃ μὲν υἱὸν, καὶ τῆς παρθενίας οὐχ ὑποστήσῃ διαφθορὰν, τελεσθήσῃ ἔγγυος, καὶ μήτηρ ἀειπαρθένος ἔσῃ, ἵνα εὐλογημένη κληθῇς. καὶ τὰ ἑξῆς.

Δόξα. Ἵνα εὐλογημένη. Εἰς τοὺς αἴνους καὶ εἰς τὰς ὥρας πάσας Ἀντίφωνον. Ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς τὴν παρθένον Μαριὰμ μεμνηστευμένην Ἰωσήφ. Ψαλμός. Ὁ κύριος ἐβασίλευσε. Ἀντίφωνον. Χαῖρε κεχαριτωμένη Μαρία, ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξίν. Ἀλληλούια. Ψαλμός Ἀλαλάξατε τῷ θεῷ. Ἀντίφω. Μὴ φοβοῦ Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ κυρίῳ, καὶ ἰδοὺ συλλήψῃ καὶ τέξῃ υἱόν. Ἀλληλούια. Ψαλ. Ὁ θεὸς ὁ θεός μου. Ἀντί Δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς

Gloria. Vt benedicta. In laudibus & in reliquis horis Antiphona. Missus est Gabriel angelus ad Mariam virginem desponsatam Ioseph. Psalmus. *Dominus regnauit. Antiphona. Aue Maria gratia plena, dominus tecum, benedicta tu in mulieribus. Alleluia. Psalmus Iubilate deo. Antiphona. Ne timeas Maria, inuenisti enĩ gratiam apud dñm, & ecce concipies & paries filium. Alleluia. Psalm. Deus deus meus. Antiph. Dabit ei dominus deus sedẽ Dauid patris*

tris eius, & regnabit in domo Iacob in æternum. Canticum. Benedicite *omnia opera.* Antiphona Ecce an*cilla domini, fiat mihi secundum verbum tuũ.* Psalmus. Laudate dominum *de cœlis.* Capitulũ. Egredietur virga. *quære in primis vesperis.* Hymnus. O gloriosa. Versus. Benedicta tu. Responso. Et benedictus Ad Benedictus Anti. Spiritus sanctus. Kyrie eleison. Christe eleison. Kyrie eleison. Oratio. Deus qui de beatæ virginis Mariæ. Antipho Ecce dominus veniet. Versus. Ecce pa-

πρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας. ᾠδή. Εὐλογεῖτε πάντα τὰ ἔργα. Ἀντίφ. Ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Ψαλμὸς Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν. Κεφάλαιον Ἐξελεύσεται ῥάβδος. ζήτησον ἐν πρώτοις ἑσπερινοῖς. Ὕμνος. Ὦ πανεύδοξε. Στίχ. Εὐλογημένη σύ. Ἀπόκρι. Καὶ εὐλογημένος. Εἰς τὸ εὐλογητός. Ἀντ. Πνεῦμα ἅγιον. Κύριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύριε ἐλέησον. Εὐχή. Ὁ θεὸς ὁ ἐκ τῆς μακαρίας παρθένου Μαρίας. Ἀντί. Ἰδοὺ κύριος ἥξει. Στίχ. Ἰδοὺ ὀφ-

ὀφθήσεται. Ἀπό. Καὶ
σὺν αὐτῷ. Εὐχή.
τὰς συνειδήσεις. ζή-
τησον ταῦτ' ἐν πρώ-
τοις ἑσπερινοῖς. Εἰς
τὴν α. Ἀντίφ. Ἀπε-
στάλη. Κεφάλαιον.
Ἰδοὺ ἡ παρθένος.
Στίχος Ἀξίωσόν με.
Ἀπό. Δός μοι δύνα-
μιν. Εὐχή Ὁ θεὸς ὁ
ἐκ τῆς μακαρίας. Ἀν-
τίφω Ἰδοὺ κύριος ἥ-
ξει. Στί. Ἰδοὺ ὀφθή-
σεται. Ἀποκρι. Καὶ
σὺν αὐτῷ. Εὐχή.
Τὰς συνειδήσεις ἡ-
μῶν. Καὶ λέγεται εἰς
πάσας ὥρας. Εἰς τὴν
γ. Ἀντί Χαῖρε Μα-
ρία. Κεφάλαιον Ἐξε-
λεύσεται ῥάβδος.
Στίχ. Ἐξεχύθη χά-
ρις. Ἀπό Διὰ τοῦτο.
Ὑπὲρ τῶν ἁγίων, ὡς
ἀνωτέρω. Εἰς τὴν ς'.
Ἀν-

apparebit. Respon.
Et cum eo. Oratio.
Conscientias. quaere
totum in primis ve-
speris. Ad primam
Anti. Missus est. Ca-
pitulum. Ecce vir-
go. Versus. Digna-
re me. Resp. Da mi-
hi virtutẽ. Oratio
Deus qui de beatae.
Anti. Ecce dominus
veniet. Versus. Ecce
apparebit. Respon-
sorium. Et cum eo.
Oratio. Conscien-
tias nostras. Et di-
citur ad omnes ho-
ras. Ad tertiã. Ant.
Aue Maria. Capi-
tulum. Egredietur
virga. Versus. Dif-
fusa est gratia. Re-
sponsoriũ. Propter-
eà. Pro sanctis, vt
suprà. Ad sextam
An-

Antiphona. Ne *timeas Maria.*

Capitulum.

D*Abit ei dominus deus sedem Dauid patris eius, & regnabit in domo Iacob in æternum, & regni eius non erit finis.* Deo *gratias. Versus.* Benedicta *tu. Responsorium.* Et *benedictus. Pro sanctis, vt suprá. Ad nonam Antiphona.* Ecce *ancilla. Capitulum.* Ecce *virgo. Versus* Angelus *domini nũciauit* Mariæ. *Responsorium.* Et *concepit de spiritu sctõ. Orationes vt suprá. Ad vesperas*

&

Ἀντίφωνον Μὴ φοβοῦ Μαρία.

Κεφάλαιον

Δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Τῷ θεῷ χάριτας. Στί. Εὐλογημένη. Ἀπό. Καὶ εὐλογημένος. Ὑπὲρ τῶν ἁγίων, ὡς ἀνωτέρω. Εἰς τὴν θ'. Ἀντί. Ἰδοὺ ἡ δούλη. Κεφάλαιον Ἰδοὺ ἡ παρθένος. Στί. Ἄγγελος κυρίου εὐηγγελίσατο τῇ Μαριάμ. Ἀπό. Καὶ συνέλαβεν ἐξ ἁγίου πνεύματος. Αἱ εὐχαὶ ὡς ἀνωτέρω. Εἰς τὸν ἑσπερινὸν

καὶ

καὶ ἀπόδειπνον, ὡς ἀνωτέρω.

Σημείωται ὅτι ἀπὸ τῆς παραμονῆς τῆς τοῦ κυρίου γεννήσεως μέχρι τοῦ καθαρισμοῦ τῆς μακαρίας παρθένου Μαρίας τελεῖται ἡ ἀκολουθία κατὰ πρὸ τῶν γενεθλίων, πλὴν ὅτι ἐν πάσαις ταῖς ὥραις λέγεται αὕτη ἡ εὐχή· Ὁ θεὸς ὁ τῆς αἰωνίου σωτηρίας.

προστεθειμένων πασῶν τῶν εὐχῶν ἐν αἷς ἀνάμνησις γίνεται τῶν ἀποστόλων σὺν ἄλλοις εἰς πάσας τὰς ὥρας ὡς γέγραπται ἐν τῇ πρὸ τῶν γενεθλίων ἀκολουθίᾳ. Ἔτι εἰς τοὺς αἴνους καὶ εἰς τὰς ὥρας πάσας λέγονται αἱ ἀντίφωνα τὰ ἑξῆς μετὰ τῶν ψαλμῶν, καὶ αν-

& completorium, vt suprà.

Notandum est quòd à vigilia natiuitatis domini vsque ad purificationem beatæ Mariæ, fit officium sicut ante aduentum, excepto quòd per omnes horas dicitur hæc oratio. Deus qui salutis æternæ. additis omnibus orationibus de apostolis cum alijs, & cum suis versiculis & antiphonis, sicut notatum est ante aduentum in officio. Item ad laudes & per omnes horas dicuntur antiphonæ quæ sequuntur, cum psalmis: & lo-

co

en (Assumpta est, dicitur hęc antiphona. O admirabile commercium, creator generis humani, animatum corpus sumens, de virgine nasci dignatus est, & procedens homo sine semine, largitus est nobis suam deitatem. Antiphona Quando natus es ineffabiliter ex virgine, tunc impletę sunt scripturę: sicut pluuia in vellus descendisti, vt saluum faceres genus humanum. te laudamus deus noster. Antiphona. Rubum quem viderat Moyses incombustum, conseruatam agnouimus tuā laudabi-

ἀντὶ τοῦ προσελήφθη λέγεται τοῦτο. Ἀντίφωνον. Ὦ συνάλλαγμα θαυμαστὸν, ὁ κτίστης τοῦ ἀνθρωπείου γένους, σῶμα ἔμψυχον ἀναλαβὼν, ἐκ παρθένου τεχθῆναι κατηξίωσε, καὶ προελθὼν ἄνθρωπος ἄνευ σπορᾶς, ἐδωρήσατο ἡμῖν τὴν ἑαυτοῦ θεότητα. Ἀντίφω. Ὅτε ἐγεννήθης ἀῤῥήτως ἐκ τῆς παρθένου, τότε ἐπληρώθησαν αἱ γραφαὶ, ὡς ὑετὸς ἐπὶ πόκον κατῆλθες ἵνα σώσῃς τὸ ἀνθρώπειον γένος. σὲ ἀνυμνοῦμεν ὁ θεὸς ἡμῶν. Ἀντίφωνον. Βάτον ὃν εἶδε Μωσῆς ἀκατάφλεκτον, τηρηθέντα ἐπέγνωμεν τὴν ὑπέρδοξον παρθενίαν σου. θεο-

θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν. Ἀντίφω. Ἐβλάστησεν ἡ ῥίζα τοῦ Ἰεσσαί, ἀστὴρ ἀνέτειλεν ἐξ Ἰακώβ, καὶ ἡ παρθένος τέτοκε τὸν σωτῆρα, σὲ ἀνυμνοῦμεν ὁ θεὸς ἡμῶν. Ἀντίφωνον. Ἰδοὺ ἡ Μαριὰμ γεγέννηκεν ἡμῖν τὸν σωτῆρα, ὃν Ἰωάννης ἰδὼν ἀνεβόωσε λέγων, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ἴδε ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἀλληλούϊα. εἰς τὸ εὐλογητός. Ἀντ. Θαυμαστὸν μυστήριον φανεροῦται σήμερον, καινοτομοῦνται τὰ σύμπαντα, καὶ θεὸς ἄνθρωπος γέγονεν, ὅπερ ἦν διέμεινε, καὶ ὃ οὐκ ἦν, προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ

dabilem virginitatẽ, dei genitrix intercede pro nobis. an. Germinauit radix Iesse, orta est stella ex Iacob, virgo peperit saluatorem, te laudamus deus noster. an. Ecce Maria genuit nobis saluatorem, quẽ Ioannes videns exclamauit, dicens: Ecce agnus dei, ecce qui tollit peccatũ mundi. Alleluia. Ad Benedictus Antiphona, Mirabile mysterium declaratur hodie, innouantur naturæ, deus homo factus est: id quod fuit permansit: & quod non erat, assumpsit: non cõmixtionẽ passus neque

neque diuisionem. *Ad Magnificat & Nunc dimittis. Antiphona.* *Magnum hæreditatis mysterium, templum dei factus est vterus nesciens virum, non est pollutus ex ea carnem aßumens: omnes gentes venient, dicentes: gloria tibi domine.*

Sciendum est quòd à vigilia Paschæ vsque ad ascensionem domini fit officium beatæ semperque virginis Mariæ sicut ante aduentum, excepto quòd ad Magnificat & ad Nunc dimittis & ad Benedictus dicitur hæc antiphona.

Regina

οὐδὲ διαίρεσιν. Εἰς τὸ Μεγαλύνει, καὶ εἰς τὸ Νῦν ἀπολύεις. Ἀντίφω. Μέγα κληρονομίας μυστήριον, ναὸς θεοῦ γέγονε γαστὴρ ἡ ἀπείρογος ἀνδρός. ἐξ ἧς οὐκ ἐμιάνθη ὁ σάρκα προσλαβὼν πάντα τὰ ἔθνη παραγενόμενα ἐροῦσι, δόξα σοι κύριε.

Ἰστέον ὅτι ἀπὸ τῆς ἑωσφρινοῦ τοῦ μεγάλου σαββάτου, μέχρι τῆς ἀναλήψεως τελεῖται ἡ ἀκολουθία τῆς μακαρίας ἀειπαρθένου Μαρίας κατὰ πρὸ τῶν γενεθλίων, πλὴν ὅτι εἰς τὸ μεγαλύνει, καὶ εἰς τὸ Νῦν ἀπολύεις, καὶ εἰς τὸ Εὐλογητὸς λέγεται τοῦτο [illegible]

Ἀνα-

Ἄνασσα τῶν οὐρανῶν εὐφρόνου, ἀλληλούϊα.
Ὅτι ὃν ἠξίωσας βαστάζειν, ἀλληλούϊα.
Ἐξανέστη, ὡς εἶπεν, ἀλληλούϊα.
Εὔχου ὑπὲρ ἡμῶν τῷ θεῷ, ἀλληλούϊα.

Ὧραι

Regina cœli lætare, alleluia.
Quia quem meruisti portare, alleluia.
Resurrexit sicut dixit, alleluia.
Ora pro nobis deũ, alleluia.

Horæ



HORAE DE *sancta cruce* *Ad matutinum.*

D*omine labia mea aperies*

Et os

ΩΡΑΙ ΤΟΥ ἁγίου καὶ σεβασμίου τοῦ σταυροῦ, εἰς τὸν ὄρθρον.

Κύριε τὰ χείλη μου ἀνοίξεις.

N Καὶ

Καὶ τὸ σόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ο θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες.

Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Δόξα πατρί.

Υ῞μνος.

ΠΑτρὸς ἡ σοφία, ἡ ἀλήθεια θεοπεσία ὁ θεὸς ἄνθρωπος ἐλήφθη τῷ ἑωθινῷ χρόνῳ, παρὰ τῶν μὲν αὐτοῦ μαθητῶν ταχέως καταλειφθεὶς, τοῖς δὲ ἰουδαίοις παραδοθεὶς, πεπρασμένος καὶ τεταλαιπωρημένος. Στίχος Προσκυνοῦμέν σοὶ ὦ χριστὲ, καὶ εὐλογοῦμέν σε. Ἀπό Ὅτι διὰ ἁγίου σαυροῦ σου ἐξεώνησας τὸν κόσμον.

Εὐ-

Et os meum annunciabit laudem tuă.

Deus in adiutorium meum intende.

Domine ad adiuuădum me festina.

Gloria patri.

Hymnus

PAtris sapientia, veritas diuina.
Deus homo captus est hora matutina.
A suis discipulis citò derelictus.
A Iudæis traditus venditus, & afflictus. Versus. Adoramus te Christe, & benedicimus tibi. Responso Quia per sanctam crucem tuă redemisti mundum.

Ora-

Oratio.

Domine Iesu Christe fili dei viui, pone paßionem, crucem, & mortem tuam inter iudicium tuum & animam meam, nunc, & in hora mortis meæ, & semper largiri digneris gratiam & misericordiam viuis, defunctis requiem & veniam, ecclesiæ tuæ pacem & veram concordiam, & nobis peccatoribus vitam & lætitiam sempiternam Qui viuis & regnas deus, per omnia secula seculorum. Amen.

Εὐχή.

Κύριε Ἰησοῦ Χριστὲ υἱὲ θεοῦ ζῶντος, θὲς τὸ πάθος, σταυρὸν, καὶ θάνατόν σου μεταξὺ κρίσεώς σου καὶ ψυχῆς ἐμοῦ, νυνὶ καὶ ἐν τῇ ὥρᾳ ἀναιρέσεώς μου, καὶ ἀεὶ χαρίζεσθαι ἀξίου τοῖς μὲν ἐμψύχοις τὸ ἔλεως καὶ τὸ χάρισμα, τοῖς δὲ βίον κατηλλαχόσι τὴν ἀνάπαυσιν καὶ τὴν συγγνώμην, τῇ δ' ἐκκλησίᾳ σου τὴν εἰρήνην καὶ τὴν ἀληθινὴν ὁμόνοιαν, ἡμῖν δὲ ἁμαρτωλοῖς ζωὴν καὶ εὐφροσύνην ἀτελεύτητον, ὃς ζῇς καὶ βασιλεύεις θεὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν πρώτην.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες.

Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Δόξα πατρί. καὶ τὰ ἑξῆς.

Ὕμνος.

Ὥρᾳ πρώτῃ συνεπροσηγήθη Ἰησοῦς εἰς τὸν πιλάτον, ὑπὸ τῶν ψευδομαρτυριῶν σφόδρα διαβεβλημένον, ἐν τῷ μὲν αὐχένι καταπλήττουσι τοῖν χεροῖν δεθέντα, τὸ δὲ τοῦ θεοῦ πρόσωπον συμπτύουσι τὸ φῶς οὐρανοῦ εὔγνωμον.

Στίχος. Προσκυνοῦμέν σε. καὶ τὰ λοιπὰ μετὰ τῆς εὐχῆς.

Εἰς

Ad primam.

Deus in adiutorium meum intende.

Domine ad adiuuandum me festina.

Gloria patri. & reliqua.

Hymnus.

Hora prima ductus est Iesus ad Pilatum.
A falsis testib' multum accusatum.
In collo percutiunt manibus ligatum.
Dei vultum conspuunt lumen cœli gratum.

Versus. Adoramus te. & reliqua cum oratione.

Ad

Ad tertiam.

DEus in adiutorium meum intende.

Domine ad adiuuandum me festina.

Gloria patri. &c.

Hymnus.

CRucifige clamitant hora tertiarum. Illusus induitur veste purpurarum. Caput eius pungitur corona spinarum.

Crucem portat humeris ad locum pœnarum.

Versus. Adoramus te. *& catera cum oratione.*

Ad sextam.

DEus in adiutorium meum intende.

Co

Εἰς τὴν γ.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες.

Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Δόξα πατρί. καὶ τὰ ἑξῆς.

Ὕμνος.

Σταύρωσον ἐπιβοῶνται τῇ ὥρᾳ τρίτῃ, ἐμπαιχθεὶς περιβάλλεται τὰ πορφύρεα ἱμάτια, ἡ μὲν αὐτοῦ κεφαλὴ στίζεται τῷ ἀκανθινῷ στεφάνῳ, βαστάζει δὲ σταυρὸν τοῖς ὤμοις πρὸς τὸν τιμωριῶν τόπον.

Στίχος. Προσκυνοῦμέν σοι. καὶ τὰ ἑξῆς. μετὰ τῆς εὐχῆς.

Εἰς τὴν ς.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες.

Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.
Δόξα πατρί. καὶ τὰ λοιπά.

Domine ad adiuuandum me festina.
Gloria patri. & reliqua.

Υ῟μνος.

Ὥρα σὰ τῇ Ἰησοῦς ἐσαυρώθη, καὶ μεταξὺ λῃστῶν αἰωρούμενος ὤφθη ἀπολογηθεὶς, ὑπὸ τῶν βασάνων διψαλέως τῇ χολῇ ποτισθείς. ὁ ἀμνὸς τὴν αἰτίαν ἀπολέλυται, οὕτως ἐντετρυφημένος. Στί. Προσκυνοῦμέν σοι. ὡς ἀνωτέρω.

Hymnus.

HOra sexta dominus Iesus est cruci conclauatus, & cum latronibus pendens deputatus.
Præ tormentis sitiens felle saturatus. Agnus crimen diluit sic ludificatus. Versus. Adoramus te. vt suprá.

Εἰς τὴν θ'.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. ἕως τοῦ τέλους.

Υ῟μ.

Ad nonam.

DEus in adiutorium meum intende, vsque ad finem.

Hymnus.

Hora nona dominus Iesus expirauit.
Eli clamans spiritum patri commendauit. Latus eius lancea miles perforauit. Terra tunc cõtremuit, & sol obscurauit.. Versus. Adoramus te, & reliqua.

Ad vesperas.

Deus in adiutorium meum intende. &c.

Hymnus.

De cruce deponitur hora vespertina.
Fortitudo latuit in mente diuina.
Talem mortem subiit

Ὕμνος.

Ὥρᾳ ἐννάτῃ κύριος Ἰησοῦς ἔσχατον ἐξέπνευσεν, ἐλωὶ ἀναβοήσας, τὴν ψυχὴν τῷ πατρὶ ἐπέστρεψε, τὴν αὐτοῦ πλευρὰν λόγχῃ ὁ στρατιώτης ἔτρωσε, τότε γῆ ἔτρεμε, καὶ ὁ ἥλιος ἐσκιάσθη. Στίχ. Προσκυνοῦμεν σοί. καὶ τὰ λοιπά.

Εἰς τὸν ἑσπερινόν.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. καὶ τὰ ἑξῆς.

Ὕμνος.

Ἐκ τοῦ σταυροῦ κατατίθεται τῷ ἑσπερινῷ χρόνῳ· ἀνδρεία ἐκρύφθη ἐν τῷ νῷ θεσπεσίῳ, τοιοῦτον ὑπεδύσατο θάνα-

ναζον. Ἡ τοῦ βίου ἰατρική, οἴμοι ὁ τῆς δόξης στέφανος κοῖται ὕπτιος. Στίχος. Προσκυνοῦμέν σοι. καὶ τὰ ἑξῆς.

Εἰς τὸν ἀπόδειπνον.

Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. Ἀπό. Καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Στίχ. Ὁ θεὸς εἰς τὴν βοήθειάν μου. καὶ τὰ ἑξῆς.

Ὕμνος.

Ἀποδείπνου χρόνῳ ἐνδίδοται ἐνταφιασμῷ τὸ τοῦ χριστοῦ σῶμα ἔνδοξον, ἡ τῆς ζωῆς μελλούσης ἐλπὶς ἐν τοῖς ἀρώμασι ἀρτύεται. Αἱ συμπληροῦνται γραφαί. Αὐτή σου θανάτου σκληροῦ μνήμη, ἡμῖν ἀεὶ διηνεκῆς

ijt vita medicina. Heu corona gloriæ iacuit supina. Versus. Adoramus te. & reliqua.

Ad completorium.

Conuerte nos deus salutaris noster. Responsoriū. Et auerte iram tuā à nobis. Versus. Deus in adiutorium meum intende. & reliqua.

Hymnus.

Hora completorij datur sepultura Corpꝰ Christi nobile: spes vitæ futuræ Conditur aromate, complentur scripturæ. Iugis fit memoria mortis tuæ du

dura.
Versus. **Adoramus te.** *& reliqua.*

Recommendatio.

HAs horas canonicas cum deuotione Tibi Christe recolo pia ratione, Vt qui pro me passus es amoris ardore, Sis mihi solatiũ mortis in agone. Amen.

κῆς ὑπάρχοι. Εὐχ. Προσκυνοῦμέν σοι. καὶ τὰ λοιπά.

Σύστασις.

ΤΑύτας ὥρας κανονικὰς μετὰ τῆς εὐσεβείας σοι μετ' ὦ Χριστὲ ἀναλογίζομαι τῷ εὐλαβεῖ λόγῳ, ἵνα ὃς ὑπὲρ ἐμοῦ ἔπαθες σὺν μεγάλῃ φιλανθρωπίᾳ, ἦς ἂν ἐμοὶ παραμυθία ἐν τῇ θανάτου ἀγωνίᾳ. Ἀμήν.

Hora de sancto spiritu.

Ad matutinum.

Ὥρα τοῦ ἁγίου πνεύματος.

Εἰς τὸν ὄρθρον.



Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ λοιπὰ εἰς τὸ τέλος.

Ὕμνος.

Ἡμῖν ἡ τοῦ ἁγίου πνεύματος χάρις δεδόσθω, ἐξ ἧς

πυρ

Domine labia mea aperies & reliqua. vsque ad finem.

Hymnus.

Nobis sancti spiritus gratia sit data.

De

De qua virgo virginum fuit obumbrata.

Cum per sanctum angelum fuit salutata.

Verbum caro factū est, virgo fœcundata. Antiphona. Veni sancte spiritus, reple tuorum corda fidelium, & tui amoris in eis ignem accende. Versus. Emitte spiritum tuū, & creabuntur.

Responsorium. Et renouabis faciem terræ.

Oratio.

OMnipotēs sempiterne deus, da nobis illā sancti spirit⁹ gratiā quam discipulis tuis in die sancto penteco-

παρθένος τῶν παρθένων ἐπεσκιάσθη, ὅταν διὰ ὁσίου ἀγγέλου ἀσπασθῇ, ὁ λόγος μὲν ἐσαρκώθη, παρθένος δὲ ἐν γαστρὶ ἔσχε. Ἀντί. Ἐξελθὲ πνεῦμα ἅγιον, πλήρωσον τὰς σοὶ πιστευσαμένων καρδίας, καὶ ἐν αὐτοῖς τὸ σῆς φιλίας πῦρ ἄπτε. Στίχος. Ἔκπεμψον πνοήν σου καὶ κτισθήσονται. Ἀπό. Καὶ τὴν γῆς πρόσοψιν ἐπισκευάσεις.

Εὐχή.

ΠΑντοκράτωρ ἄχρονε θεός, παράσχου ἡμῖν ἐκείνην ὁσίου πνεύματος χάριν ἣν τοῖς σου μαθηταῖς πεν-

πεντηκοστῆ ἡμέρᾳ μετέστειλας, ὃς ζῇς καὶ βασιλεύεις θεὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Εἰς τὴν α.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. ὡς ἀνωτέρω.

Ὕμνος.

Ἀπὸ τῆς Μαρίας παρθένου ὁ Χριστὸς ἐγεννήθη, σταυρωθεὶς, ἀποθανὼν καὶ τεθαμμένος, ἀναστήσας δὲ, τοῖς μαθηταῖς ἐφάνη, καὶ τῶν αὐτῶν ὁρώντων εἰς οὐρανοὺς ὑψωθείς.

Ἀντί. Ἔξελθε ἅγιον, καὶ τὰ λοιπά, μετὰ τῆς αὐτῆς εὐχῆς.

Εἰς τὴν θ.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες εἰς τὸ τέλος. Ὕμνος.

Τὸ

tecostes träsmisisti. Qui viuis et regnas deus in secula seculorum. Amen.

Ad primam.

Deus in adiutorium meum intende. vt suprá.

Hymnus.

De virgine Maria Christus fuit natus, crucifixus, mortuus, atque tumulatus, resurgens discipulis fuit demonstratus, & ipsis cernentibus in cœlos eleuatus.

Anti. Veni sancte. & reliqua cum oratione supradicta.

Ad tertiam.

Deus in adiutoriū meum intende. vsque ad finem.

Hymnus.

Suum

SVum sanctum spiritum deus delegauit, In die pentecostes apostolos cōfortauit. Et de linguis igneis ipsos inflammauit. Relinquere orphanos eos denegauit. Antipho. Veni sancte & reliqua.

Ad sextam.

Deus in adiutorium meum intende, & reliqua.

Hymnus.

SEptiformē gratiam tunc acceptauerūt: Quare idiomata cuncta cognouerūt. Addiuersa climata mūdi recesserūt. Et fidē catholicā tūc prædicauerunt.

Τὸ ἑαυτοῦ ἅγιον πνεῦμα ὁ θεὸς ἀπέστειλεν, τῇ δὲ πεντηκοστῇ τοὺς ἀποστόλους ἐνεδυναμώσατο, καὶ αὐτοὺς ἐμπύροις γλώσσαις ἐφλόγισε, ἐκείνους ἀπολιπεῖν ὀρφανοὺς οὐκ ἠθέλησε. Ἀντί. Ἐλθὲ ἅγιον. καὶ τὰ λοιπά.

Εἰς τὴν ς.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. καὶ τὰ λοιπά.

Ὕμνος.

Ἑπτάμορφον δὲ χάριν αὐτοὶ τότε προσείληφαν, διὰ ταῦτα τὰ ἰδιώματα ξύμπαντα ἐγνωρίσαντο, καὶ πρὸς τὰ ποικίλα τοῦ κόσμου κλίματα ἐπορεύθησαν, καὶ πίστιν καθολικὴν τηνικαῦτα κεκηρύ-

ἐύχασι. Ἀντ. Ἔξελθε ἅγιον. εἰς τὸ τέλος.

Εἰς τὴν θ'.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου. ὡς ἀνωτέρω.

Ὕμνος.

Πνεῦμα δὲ παράκλητον ὠνόμασαι, τὸ δῶρον, ἡ τοῦ θεοῦ χάρις, ἡ ἔμψυχος πηγὴ, πνευματικὸν χρίσμα, τὸ πῦρ πεφλογισμένον, ἑπταμόρφον χάριτος τὸ χαρισήριον ἐπεφωνήθη. Ἀντίφωνον. Ἔξελθε ἅγιον. καὶ τὰ ἑξῆς.

Εἰς τὸν ἑσπερινόν.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. εἰς τὸ τέλος.

Ὕμνος.

Τῆς τοῦ θεοῦ δεξιᾶς ὁ δάκτυλος, ἡ δύναμις πνευμα-

uerunt. Anti. *Veni sancte vsq; ad finē.*

Deus in adiutoriū meum. vt supra.

Hymnus.

Spiritus paracletus fuit appellatus, Donum, dei charitas, fons viuificatus. Spiritalis vnctio, ignis inflammatus. Septiformis gratiæ charisma vocatus. Antiphona. *Veni sancte. & cetera,*

Ad vesperas.

Deus in adiutoriū meum intende. vsque ad finem.

Hymnus.

Dextra DEI *digitus, virtus spiritalis, nos de-*

defendat, eruat ab omnibus malis, vt nobis nõ noceat dæmon infernalis, sed ipsa nos protegat, nutriat, foueat sub alis. Antipho. *Veni sancte, & reliqua.*

Ad completorium.

Conuerte nos deus salutaris noster. vt supra.

Hymnus.

Spiritus paraclestus nos velit iuuare.
Gressus nostros regere & illuminare.
Vt cum deus venerit omnes iudicare.

Nos

ματικὴ, ἡμῖν ἐπικουρισάτω, καὶ πάντων ἀπὸ κακῶν ῥυσάσθω, ὅπως ἡμᾶς οὐ βλάψῃ ὁ τοῦ ᾅδου κακοδαίμων, ἀλλ᾽ αὐτὴ περιβαλλέσθω, καὶ θρεψάτω, καὶ ὑπὸ ταῖς μασχάλαις περιεψάτω. Ἀντίφω. Ἔξελθε ἅγιον. καὶ τὰ λοιπά.

Εἰς τὸ ἀπόδειπνον.

Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. ὡς ἀνωτέρω.

Ὕμνος.

Πνεῦμα δὲ παράκλητον ἡμῖν ἐθέλοι ἂν βοηθεῖν, τὰς ἡμῶν βάσεις διορθοῦσθαί τε καὶ φωτίζεσθαι, ὡς ὁπόταν ἥξῃ ὁ κύριος ἅπαντας

κρι-

κρινόμενος, ἡμᾶς βούλοιτο ἂν εἰς τὴν ἑαυτοῦ δεξιὰν προσκλῆσαι. Ἀντί. Ἔξελθε ἅγιον. καὶ τὰ λοιπά.

Σύστασις.

Ταύτας δὴ ὥρας κανονικὰς μετὰ τῆς εὐσπλαγχνίας σοὶ ὦ ἅγιον πνεῦμα τῷ εὐσεβεῖ λόγῳ κατελεξάμην, ἵνα ἡμᾶς ἂν ἐπισκέπτῃς σῇ ἐπιπνοίᾳ, ὡς ἡμᾶς ἀεὶ συζῶεν τῇ τοῦ οὐρανοῦ χώρᾳ. Ἀμήν.

Ὧραι

Nos velit ad dexteram suam appellare. *Antipho.* Veni sancte. *& quæsequuntur.*

Recommendatio.

Has horas canonicas cum deuotione,
Tibi sancte spiritus pia ratione
Dixi, vt nos visites inspiratione.
Et viuamus iugiter cœli regione.
Amen.

Hora



Hora conceptionis beatæ virginis Mariæ.
Ad matutinas.

DOmine labia mea aperies.

Et

Ὧραι τῆς συλλήψεως ἀεὶ παρθένου Μαρίας.
Εἰς τὸν ὄρθρον.

ΚΥριε τὰ χείλη μου ἀνοίξεις.

Καὶ

Καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὁ θεὸς εἰς τὴν βοήθειαν. ὡς ἀνωτέρω.

Ὕμνος.

Ὁ τὸν κλαυθμὸν πολυχρόνιον βασιλεὺς βασιλέων ἐλεήσας, τὸν ἄγγελον, δ' αὐτὶ τοῦ πένθους χάρμα προπέμπει εὐαγγελίζεσθαι αὐνα, ἐν τῷ σοῦ γήρει τὴν γενεὰν ἕξεις.

Καὶ γὰρ τὴν τοῦ λόγου μητέρα συλλήψεις, ὦ Ἀννᾶ, σὺ χαῖρε ὅτι μήτε τοιαύτην μὴ ὑπάρχειν, μήθ' ὑπάρξεσθαι πιστεύσῃ οὐδείς· αὐτὴν μέντοι εὐδαίμονα καταλέξουσιν.

Ἰωαχὶν μεγάλῳ ἀναπλήρεται χάρματι, ὅτι

Et os meum annunciabit laudem tuam.

Deus in adiutoriũ. vt suprà.

Hymnus.

Fletus longæui rex regum misertus, angelum mittit gaudium pro luctu, vt dicat Annæ, tempore senili prolem habebis.

Etenim verbi concipies matrem. Anna, tu gaude, quoniam nec talem esse, nec credas futuram, hanc dicent omnes beatam.

Ioachin magno gaudio repletur, vo-

vocem dum audit angeli dicentis dariet tibi Anna matrem Dei grandem præ cunctis.

G*loria patri, genitæq; proli, flamini sancto virginíque matri, quæ Dei natum genuit hominem, sit laus perennis.* Versus. Necdum erant abyßi.

Responsorium. Et ego am cōcepta eram.

Oratio.

D*eus ineffabilis misericordiæ qui primæ piacula mulieris p virginē Mariā expiādā sanxisti, da nobis quæsum⁹ cōceptiōis eius* memo-

ὅτι τὴν τοῦ ἀγγέλου φωνὴν ἀκούει λέγοντος· ἀννᾶ σοι τὴν θεοτόκον ἀποτέξει ὑπὲρ τὰς ἁπάσας μεγάλην.

Δόξα πατρὶ, τῇ τε γενεᾷ γεννηθείσῃ, τῷ τε ἁγίῳ πνεύματι, τῇ τε παρθένῳ μητρὶ, ἣ τὸν θεὸν παῖδα, ἐγεννήσατο ἄνθρωπον ἔπαινος ἔσω ἀΐδιος. Στίχος. Μήπω ὑπάρχον οἱ ἄβυσσοι. Ἀπόκρι. Κἀγὼ ἤδη συνειλήμμην.

Εὐχή.

Ὦ τοῦ ἀρρήτου ἐλέους θεὸς, ὁ τὰ πρώτης γυναικὸς ἄγεα, διὰ τῆς παρθένου Μαρίας ἡγιάσω καθαίρεσθαι, δὸς ἡμῖν δεόμεθα τῆς συλλήψεως αὐτῆς

Ο ἀξίως

ἀξίως μνήμην σέβεσθαι, ἣ τὸν σοῦ μονογενῆ παρθένος συνέληψε, καὶ παρθένος ἡ αὐτὴ ἐτίξατο κύριον ἡμῶν Ἰησοῦν χριστὸν τὸν υἱόν σου, ὃς ζῇ μετὰ σοῦ καὶ βασιλεύει εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Εἰς τὴν πρώτην.

Ὁ θεὸς εἰς τὴν βοήθειαν μου πρόσχες. καὶ τὰ λοιπὰ ὡς ἀνωτέρω.

Ὕμνος.

Τὸ τῆς νυκτὸς πέρας παλαιὸν ἠὼς ἀποδίδωκε τῷ κόσμῳ, προπέμπουσα τὴν τοῦ κόσμου χαρὰν τὸν ἀστέρα ἑωθινὸν, ἡλίου καθηγεμόνα.

Ἐν τῇ φέγγους γενέσει τοῦ ἀστέρος ἐναλίου, ὅ τε πόντος καὶ ἡ γῆ εὐ-

memoriam digne venerari, quae vnigenitum tuum virgo concepit, & virgo peperit dominũ nostrũ Iesum Christum filium tuum, Qui tecũ viuit & regnat in secula seculorum. Amen.

Ad primam.

Deus in adiutorium meum intende. & reliqua vt supra.

Hymnus.

Terminum noctis aeternum aurora reddidit mundo, praemittens gaudiũ mundi, stellam matutinam, praeuiam solis.

In ortu lucis stellae maris, pontus, terra laetan-

latantur, gaudeat peccator, nascitur mater redemptoris, Maria clemens.

Caelici ciues, reges terrae colunt, sterilis parit, miratur natura, stupet infernus videns sine labe virginem nasci.

Gloria patri. vt suprà.

Versus Conceptionem virginis Mariae cum gaudio celebremus. Responsorium. Vt ipsa pro nobis intercedat ad dominum Iesum Christum.

Oratio.

Domine Iesu Christe lux vera

εὐφραίνονται, χαιρήτω ὁ ἁμαρτωλὸς ἔφυ τε τοῦ λυτρωτοῦ μήτηρ ἡ Μαρία ἐπιεικής.

Οὐράνιοι πολῖται, χθόνιοι δὲ σέβονται βασιλεῖς, τίκτει ἡ στεῖρα, θαυμάζει φύσις, ἀναισθήτως ἔχουσιν οἱ ἐν ᾅδου καθικνούμενοι, ὁρῶντες ἄνευ ἁμαρτίας παρθένον γίγνεσθαι.

Δόξα πατρί. ὥσπερ ἀνωτέρω. Στίχος.

Σύλληψιν τῆς παρθένου Μαρίας μετὰ τῆς εὐφροσύνης ἑορτάζωμεν. Ἀπόκρισις. Ὅπως ὑπὲρ ἡμῶν αὐτὴ μεσιτεύσῃ πρὸς κύριον Ἰησοῦν χριστόν.

Εὐχή.

Κύριε Ἰησοῦ χριστὲ φῶς ἀληθι-

νὸν, ὃ φωτίζει πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον, δὸς ἡμῖν τὴν σῆς γεννητείρας γένεσιν, ἀξίως ἑορτάζειν, ὡς ἂν τῇ αὐτῆς μεσιτείᾳ τὸ τοῦ φωτὸς ἆθλον δυνησώμεθα κατακρατεῖν, ὃς ζῇς. καὶ τὰ λοιπά.

ra quæ illuminat omnem hominem venientē in hunc mundum, da nobis ortū genitricis tuæ dignè celebrare, vt eius intercesione, lucis premium valeamus obtinere.

Qui viuis. & reliqua.

Εἰς τὴν γ'.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. καὶ τὰ λοιπά.

Ad tertiam.

DEus in adiutorium meum intende. & reliqua.

Ὕμνος.

ΣΩτηρίαν τῷ κόσμῳ παρατιθέναι βουλόμενος, οὐρανόθεν ὁ θεὸς ἄγγελον τῇ Μαρίᾳ πέμπει λέξιν ἐν τῷ ἐκείνην ἀσπάζεσθαι, χαῖρε Μαρία.

Hymnus.

SAlutem mundo tribuere volens, è cœlis DEVS *angelum* MARIAE *mittit vt dicat eam salutando, Aue Maria.*

Κεχα　　*Gra-*

Gratia plena concipies deum: hoc tibi signum, Helizabet tua parens concepit sterilisq; filiũ, in senectute.

Puella gaudens Gabrielis ore suscepit verba, respondens sic dicit, Ecce ancilla domini, fiátque hoc verbum tuum.

Gloria patri, genitæq; proli & reliqua.

Versus.

Angelus domini nũciauit Mariæ.

Responsorium.

Et concepit de spiritu sancto.

Oratio.

DEUS *qui de beatæ* MARIAE *virginis vtero verbum*

Κεχαριτωμένη συλλήψεις θεὸν τοῦτό σοι ἔκαζε, ἐλιζαβὲτ ἡ σοῦ συγγενὴς συνείληφε, στεῖρά γε οὖσα, υἱὸν ἐν τῷ αὐτῆς γήρᾳ.

Κόρη χαίρουσα τῷ Γαβριὴλ στόματι ἐξεδέξατο ῥήματα, οὕτως ἀποκρινομένη, ἰδοὺ δούλη κυρίου, ἔφη, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Δόξα πατρὶ, τῇ τε γενεᾷ γεννηθείσῃ. καὶ τὰ λοιπά.

Στίχος.

Ἄγγελος κυρίου εὐηγγελίσατο τῇ Μαρίᾳ.

Ἀπόκρισις.

Καὶ συνέλαβεν ἐξ ἁγίου πνεύματος.

Εὐχή.

Ὁ θεὸς ὁ ἐκ τῆς μακαρίας παρθένου Μαρίας γαστρὸς, τὸν σὸν λόγον,

γον ἀγγέλου μηνύοντος σάρκα προσλαβεῖν δοκήσας, παράσχου τοῖς σοῖς οἰκέταις ὡς οἳ ταύτην ὄντως θεοτόκον πιστεύομεν, ταῖς αὐτῆς πρὸς σὲ ἐντεύξεσιν ἡμᾶς βοηθεῖσθαι, διὰ τοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν.

Εἰς τὴν ς.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. καὶ τὰ ἑξῆς.

Ὕμνος.

Τὴν συγγενῆ τὸν παῖδα τοῦ ὑψίστου μάντιν ἔχουσαν τῇ γαστρὶ ἐγκεκλεισμένον Μαρία, εἰς τὴν ὀρεινὴν ἰουδαίας πόλιν ἀναβαίνουσα, μετὰ σπουδῆς ἀσπάζει.

Μαρίας φωνὴν ἐλιζάβετ ἀκούει ἀγαλλια-

bum tuum angelo nunciāte carnē suscipere voluisti, præsta supplicibus tuis, vt qui verè eam dei genitricē credimus, eius apud te intercessionibus adiuuemur. Per Christum *dominum nostrum.* Amen.

Ad sextam.

Deus in adiutorium meum intende.

& cetera,

Hymnus.

PVerum vatem habentē supremi aluo reclusum cognatam, Maria, *montana* Iudææ *scandens, salutat festino gressu.*

Mariæ vocem Helizabet audit, exul

tat

tat infans in vtero clausus, prophetat mater dicens, quia credis, concipies verbum.

Virgo tam mira audiens & videns, canticum nouum reddit creatori, dulce dans melos, magnificat deum anima mea.

Gloria patri genitaq́; proli. & reliqua.

Versus Vt facta est *vox in auribus meis.* Responsorium Exultauit *infans in vtero meo.*

Oratio.

O*Mnipotens sempiterne deus, qui ex abundantia charitatis*

λιᾶται οὖν τὸ βρέφος ἐν τῇ αὐτῆς κοιλίᾳ κυκλωθέν. προφητεύει δὲ μήτηρ λέγουσα, ὅτι ἡ πιστεύσασα συλλήψῃς λόγον.

Παρθένος δὲ τῶν οὕτω θαυμασίων ἀκούσασα καὶ ἰδοῦσα, τὸ ᾆσμα καινὸν τῷ δημιουργῷ ἀποδίδωσι, γλυκερὸν ἐπιφωνοῦσα μέλος, μεγαλύνει ἡ ψυχή μου τὸν κύριον.

Δόξα πατρί, τῇ τε γενεᾷ γεννηθείσῃ. καὶ τὰ λοιπά. Στίχος. Ὡς ἐγένετο ἡ φωνὴ εἰς τὰ ὦτά μου. Ἀπό. Ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου.

Εὐχή.

ΠΑντοδύναμε ἀΐδιε θεὲ ὃς τῇ χάριτος

ὃς σοῦ προνοίᾳ τὴν ὀλβίαν Μαρίαν τὸν υἱόν σου ἐν γαστρὶ ἔχουσαν, πρὸς τὴν τῆς Ἐλιζαβὲτ ἐπίσκεψιν παρώρμησας, παράσχου δεόμεθα ὅπως οἱ ἐκείνης ἐπίσκεψιν ἑορτάζοντες, ταῖς αὐτῆς δεήσεσιν, ἀπὸ τῶν νῦν ἁπάντων κινδυνευμάτων ῥυσθῶμεν. Διὰ τοῦ Χριστοῦ κυρίου ἡμῶν.

Εἰς τὴν θ.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. εἰς τὸ τέλος.

Ὕμνος.

Γίνεται τῷ κόσμῳ σαρκωθεὶς ὁ λόγος, ὁ ἡλίου φέγγος· μεταβαίνουσα αἴγλη τελειοτάτη, ἣν οἱ ἐν τῷ σκότῳ ἴδιοι καταλαμβάνειν οὐκ ἐθέλουσιν.

Δό-

tatis tuæ beatam Mariã tuo filio fœcundatam ad visitationem Helizabet inspirasti: præsta quæsum⁹, vt qui eius visitationem celebramus, ipsius precibus in præsenti ab omnibus aduersitatib⁹ liberemur. Per Christum dominum nostrum.

Ad nonam.

Deus in adiutoriũ meum intende. in finem.

Hymnus.

Nascitur mũdo verbum caro factum, solis transcendens lucem lux perfecta tenebris lucem capere quã sui generis nolunt.

Glo-

Gloriam deo, pacē terræ cantat chorus cœlorum, lux oritur noua, custodes gregis cantus angelorū audiunt nocte.

Pastores currunt, cantus audientes, natum videre pannis inuolutum: Mariæ natum vident in præsepe, redeunt læti.

Gloria patri, genitæq; proli & cætera.

Versus. Verbum caro factum est.

Responso Et habitauit in nobis.

Oratio.

Deus qui salutis æternæ beatæ Mariæ virginitate fœcunda, humano

Δόξαν τῷ θεῷ, εἰρήνην τῇ γῇ ὁ τῶν οὐρανῶν χορὸς ᾄδει, τὸ φῶς ἀνατέλλει καινόν, φύλακες τῆς ἀγέλης τὰ τῶν ἀγγέλων ᾄσματα τῆς νυκτὸς ἐξακούουσιν.

Τρέχουσιν οἱ ποιμένες τῶν ᾀσμάτων ἀκούοντες, τὸ παῖδα ὁρᾶσθαι ῥάκεσι ἐγκεκορδυλημένον. τὸ Μαρίας παιδίον ἐν τῇ φάτνῃ βλέπουσιν ἀνατρέχονται συνηδόμενοι.

Δόξα πατρὶ τῇ τε γενεᾷ γεννηθείσῃ. καὶ τὰ ἑξῆς. Στίχ. Ὁ λόγος σὰρξ ἐγένετο. Ἀπόκρ. Καὶ ἐσκήνωσεν ἐν ὑμῖν. Εὐχή.

Ὁ θεὸς ὁ τὸ τῆς αἰωνίου σωτηρίας γονίμῳ τῆς μακαρίας Μαρίας παρθενίᾳ τῷ ἀνθρωπείῳ

πάσῳ γένει γέρα πορισάμενος, παράσχου δεόμεθα ὅπως αὐτὴν ὑπὲρ ἡμῶν ἐντυγχάνειν αἰσθανώμεθα, δι' ἧς ἠξιώθημεν τὸν τῆς ζωῆς αὐτουργὸν ὑποδέξασθαι κύριον ἡμῶν Ἰησοῦν χριστὸν τὸν σὸν υἱόν. Ἀμήν.

Εἰς τὸν ἑσπερινόν.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. καὶ τὰ λοιπά. Ὕμνος.

Θάνατον ὅτε ὁρᾷς τὴν τοῦ βίου γένεσιν τεθνάναι, τί πόσον ἄλγος; μάχαιρα διῆλθε τὴν σου ψυχὴν, τῆς ζωῆς γεννησάσης, ὦ ἐπιεικὲς μῆτερ.

Τὰς τοῦ σώματος υἱοῦ βλέπουσα πληγὰς, πλευρὰν αἱμαζες

no generi præmia præstitisti, tribue quæsumus vt ipsam pro nobis intercedere sentiamus, per quam authorem vitæ suscepimus, dominum nostrum Iesum Christum filiũ tuum. Amen.

Ad vesperas.

Deus in adiutorium meum intende. & reliqua.

Hymnus.

Omnipotens ſempiterne Deus, qui nos idoneos non eſſe perpendis ad maieſtatem tuã ſicut dignũ eſt exorãdam, da ſanctos tuos pro noſtris ſupplicare peccatis, quos dignè poſsis audire. Per dominum noſtrum.

De omnibus confeſſoribus. Antiphona.

Sancti per fidem vicerunt regna, operati ſunt iuſtitiam, adepti ſunt repromiſsiones.

Verſus. Iuſti au-

autem in perpetuum viuent. Responsio. Et apud dominum est merces eorum.

Oratio.

SAnctorum confessorum tuorum quæsumus meritis & precibus adiuuemur: vt quod fragilitas nostra non obtinet, eorum nobis qui ante te iusti inuenti sunt oratione donetur. Per dominum nostrum.

De omnibus virginibus.

Antiphona.

Istæ sunt prudentes virgines, quæ accepto oleo in vasis suis, cum lampadibus suis exierunt obuiam sponso & sponsæ, quo veniēte in-

δὲ εἰς ἀεὶ διάξουσι. Ἀπό. Καὶ παρὰ τῷ κυρίῳ ἐστὶν ὁ μισθὸς ἐκείνων.

Εὐχή.

ΑΓίων σου ἐξομολογητῶν (δεόμεθα) ταῖς δεήσεσι, καὶ εὐεργεσίαις βοηθῶμεν, ὡς ὃ μὴ τυγχάνει τὸ ἡμῶν ἀσθενὲς, ταῖς τῶν αὐτῶν (οἳ μετὰ δίκαιοι σοῦ ἐνώπιον εὕρηνται) προσευχαῖς, ἐκεῖνο ἡμῖν διδόσθω. Διὰ κυρίου ἡμῶν.

Περὶ πασῶν παρθένων. Ἀντίφωνον.

Αὗται εἰσὶν φρόνιμαι παρθένοι αἳ μετὰ ἐλαίου λαβοῦσαι ἐν τοῖς ἀγγείοις ἑαυτῶν, ἅμα ταῖς αὐτῶν λαμπάσι ἐξῆλθον εἰς συνάντησιν νυμφίῳ καὶ νύμφῃ σὺν ᾧ πορευομένῳ

εἰσῆλθον δὴ παρεσκευασμέναι, μετὰ τοῦ γάμον. Στίχ. Ἀπενεγχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. Ἀπόκ. Αἱ πλησίον αὐτῆς ἀπενεγχθήσονταί σοι.

Εὐχή.

Ὁ Θεὸς ἀγαπῶν δίκην, καὶ ἀεὶ μισῶν ἀδικίας, ὃς ἐπιθυμεῖς τοῦ τῆς ὡραιότητος παρθενικῆς κάλλους, παράσχου ὡς ταῖς τῶν ἁγίων παρθένων σου πρεσβευούσαις εὐεργεσίαις, ἀρετῶν πεπληρωμένοι εὐπορίαις, στοργῆς σου τυγχάνωμεν ἀγάπης. Διὰ Χριστοῦ.

Περὶ ἁπάντων ἁγίων. Ἀντίφωνον. Μακάριοι οὖν ἐστὲ ὦ ἅγιοι θεοῦ.

intrauerunt quæ parata erant, cum eo ad nuptias. Versus. *Adducentur regi virgines post eam.* Responsorium. *Proximæ eius afferentur tibi.*

Oratio.

Deus dilector iustitiæ, & semper osor nequitiæ, qui concupiscis decorem pulchritudinis virgineæ, da vt sanctarum virginum tuarum intercedentibus meritis, virtutum repleti copiis, amorem consequamur tuæ dilectionis. Per Christum.

De *omnibus sanctis. Antiphona.* Beati *estis sancti dei.*

dei quòd voluit vos Christus consortes fieri cœlestium virtutum, ac perfrui æternæ claritatis gloria. Ideóque precamur vt memores nostri intercedere dignemini pro nobis ad dominum IESVM CHRISTVM.

Versus. Beati qui habitant in domo tua domine.

Responso. In secula seculorum laudabunt te.

Oratio.

CONcede quæsumus omnipotens Deus, vt intercessio nos sanctæ dei genitricis virginis Mariæ, beatarúmque omniũ cœle-

θεοῦ, ὅτι ὑμᾶς ἐθέλησε χριστὸς οὐρανίων δυνάμεων γενέσθαι κοινωνοὺς, καὶ ἀπολαύειν τῆς ἀθανάτου στιλπνότητος δόξαν, καὶ διὰ ταῦτα παρακαλοῦμεν, ὡς μνήμονες ἡμῶν πρεσβεύειν καταδέξασθε ὑπὲρ ἡμῶν παρὰ τῷ κυρίῳ Ἰησοῦ χριστῷ.

Στίχος: Ὄλβιοι οἱ κατοικοῦντες ἐν οἰκίᾳ σου κύριε. Ἀπόκ. Εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἐπαινέσουσί σε.

Εὐχή.

ΠΑρέσχου δεόμεθα παντοκράτωρ θεὸς. ὡς ἡ πρεσβεύουσα ἁγίας θεοτόκου παρθένου Μαρίας καὶ ἡ ἁγίων ἁπασῶν οὐ-

Y ij ρα-

ρανίων δυνάμεων, ἢ δὲ ἁγίων πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ἐξομολογητῶν, παρθένων, καὶ πάντων ἁγίων ἐκλεκτῶν σου ἡμᾶς πανταχοῦ εὐφραίνῃ καὶ βοηθῇ, ὅπως ἐν τῷ τὰς αὐτῶν προῖκα εὐεργεσίας ἀπομνημονεύειν, τὴν ἐπικουρίαν αἰσθώμεθα. Διὰ τοῦ.

Εὐχὴ εὐσεβεστάτη.

Ὁ Θεὸς ἵλεως ἴθι ἐμοὶ ἁμαρτάνοντι, καὶ φύλαξ ἐμοῦ ἐν πάσαις ἐμῆς βίου ἡμέραις, ὦ θεὸς Ἀβραάμ, θεὸς Ἰσαάκ, θεὸς Ἰακώβ, ἐλέησόν με, καὶ κατάπεμψον εἰς βοήθειάν μου ἅγιον Μιχαὴλ ἀρχάγγελον, ὅς ἐμὲ φυ-

lestium virtutum, sanctorum patriarcharum, prophetarum, apostolorum, martyrum, confessorum, virginum, ac omnium sanctorum electorum tuorum vbique nos lætificet & adiuuet, vt dum eorum gratuita dona recolimus, etiã patrocinia sentiamus. Per eundem.

Oratio deuota.

D*Eus propitius esto mihi peccatori, & sis custos mei omnibus diebus vitæ meæ :* Deus *Abrahã, deus* I*saac deus* I*acob miserere mei, & mitte in adiutorium meum sanctum* M*ichaëlẽ archangelum, qui me cu-*

custodiat, protegat, foueat, visitet & defendat ab omnibus inimicis visibilibus, inuisibilibus, carnalibus, spiritualibus, & temporalibus. Sancte Michaël archangele, defende me in prælio, vt non peream in tremendo iudicio. sancte Michaël archangele, per gratiam quam habere meruisti, te deprecor & per vnigenitum Dominum nostrum IESVM CHRISTVM *vt eripias me ab vniuersis malis præteritis, præsentibus, & futuris, intercedente gloriosa virgine Maria*

φυλάξῃ, ἀσφαλίσῃ, περιέψῃ, ἐπισκέψῃ, καὶ συναγορεύσῃ ἀπὸ τῶν ἐχθρῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων, σαρκικῶν, πνευματικῶν τε καὶ χρονικῶν. Ἅγιε Μιχαὴλ ἀρχάγγελε, ἀσφάλισόν με ἐν τῷ πολέμῳ, ὡς μὴ ἀπολλύωμαι ἐν τῷ δεινῷ κριτηρίῳ. Ἅγιε μιχαὴλ ἀρχάγγελε, διὰ χάριτος ἧς ἔχειν ἄξιος ἦς, εὔχομαί σοι καὶ πρὸς τὸν μονογενοῦς κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὡς ἐύσασθαί με ἀπὸ τῶν συμπάντων κακῶν παρῳχημένων, παρόντων τε καὶ μελλόντων, πρεσβευούσης τῆς παρθένου ἐνδοξοτάτης Μαρίας

ας ἅμα τῇ τῶν οὐρανίων κοινωνίᾳ. Ἅγιε Μιχαήλ, ἅγιε Γαβριήλ, ἅγιε Ῥαφαήλ, πάντες ἅγιοι ἄγγελοι, καὶ ἀρχάγγελοι βοηθήσατέ μοι ἁμαρτωλῷ. νυνὶ δέομαι ὑμῶν ὦ δυνάμεις οὐράνιαι, ὡς μηδεὶς ἐχθρῶν ἐμὲ βλάπτεσθαι ἂν ἔχῃ, μήτ᾽ ἐν ὁδῷ, μήτ᾽ ἐν ὕδατι, μήτ᾽ ἐν πυρί, μήτ᾽ ἔνδοθεν, μήτ᾽ ἔξωθεν, μήτ᾽ ἐν τῷ πορεύεσθαι, μήτ᾽ ἐν τῷ ἀνέρχεσθαι, μήτ᾽ ἐν τῷ γρηγορεῖν, μήτ᾽ ἐν τῷ καθεύδειν, μήτ᾽ ἐν τῷ φάγεσθαι, μήτ᾽ ἐν τῷ τι πράττεσθαι. ἰδοὺ τὸ τοῦ σαυ † ροῦ σημεῖον κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, φεύξασθε τηλοῦ ὦ ἐχθροὶ πάντες. ἐνίκη-

ria cum omni ſocietate cœleſti Sancte Michaël, Sancte Gabriël, Sancte Raphaël, Omnes ſancti angeli & archangeli, ſuccurrite mihi peccatori. Precor, vos omnes virtutes cœlorum vt nullus inimicus mihi nocere poßit, nec in via nec in aqua, nec in igne, nec in domo, nec extra domum nec eundo, nec redeundo, nec vigilando, nec dormiendo, nec comedendo; nec aliquid faciendo. Ecce ſignum cru † cis Domini noſtri Ieſu Chriſti, fugite partes aduerſæ, vicit leo

leo de tribu Iuda, radix Dauid, alleluia. Saluator noster, qui per sanguinem tuum & crucem saluasti mundum, salua me hodie & omnibus diebus vitæ meæ. Sancte deus, sancte fortis, sancte immortalis miserere nobis. O crux Christi adiuua me. O crux Christi defende me. O crux Christi ab omni malo libera me. Amen.

ἐνίκησε ὁ λέων ὁ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς, ἡ τοῦ Δαβὶδ ῥίζα ἀλληλούϊα. σωτὴρ ἡμῶν ὃς διὰ σοῦ αἵματος καὶ σταυροῦ τὸν κόσμον ἔσωσας, ῥῦσαί με τήμερον, καὶ ἐν πάσαις ἐμοῦ βίου ἡμέραις. Ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. ὦ σταυρὸς χριστοῦ βοήθησόν μοι. ὦ σταυρὸς χριστοῦ φύλαξόν με. ὦ σταυρὸς χριστοῦ ἀπὸ τοῦ πονηροῦ ῥῦσαι με. Ἀμήν.

Oratio valde deuota ad beatissimam virginem Mariam.

Obsecro te domina sancta maria mater dei

Εὐσεβὴς ἡ πρὸς τὴν ὑπεραγίαν παρθένον Μαριὰμ Εὐχή

Εὔχομαί σοι ὦ δέσποινα ἁγία ΜΑΡΙΑΜ μῆτερ

θεοῦ εὐσεβεστάτη, μεγίστου βασιλέως κούρη, μῆτερ ἐνδοξοτάτη, μῆτερ ὀρφανῶν, παράκλησις ἐρήμων, φυκτωρία πλανωμένων, σωτηρία ξυμπάντων ἐπί σε ἐλπιζόντων, παρθένος πρὸ τόκου, παρθένος τε ἐν τῷ τόκῳ, καὶ παρθένος μετὰ τόκον. πηγὴ ἐλέους πηγὴ σωτηρίας τε καὶ χάριτος, πηγὴ παρακλήσεως καὶ φιλοστοργίας, πηγὴ δὲ εὐσεβείας καὶ εὐφροσύνης, δι' ἐκείνης ἁγίας ἀῤῥήτου χαρᾶς, ᾗ ἠγάλλετο πνεῦμά σου ἐν τῇ ἐκείνῃ ὥρᾳ, ὅταν σοι διὰ τοῦ Γαβριὴλ ἀρχαγγέλου προσηγγέλθη καὶ συλλη-

dei pietate plenißima, summi regis filia, mater gloriosissima, mater orphanorum, consolatio desolatorum, via errantium, salus omnium in te sperantium. Virgo ante partum, virgo in partu, & virgo post partum. fons misericordiæ, fons salutis & gratiæ, fons consolationis & indulgentiæ, fons pietatis & lætitiæ.

Per illam sanctam ineffabilem lætitiam qua exultauit spiritus tuus in illa hora quando tibi per Gabrielem archangelum annunciatus & conceptus

ceptus filius dei fuit Et per illud diuinum mysterium, quod tunc operatus est in te spiritus sanctus. Et per illam sanctam ineffabilẽ gratiam, pietatem, misericordiam, amorem & humilitatem, per quas filius tuus descendit accipere humanam carnem in venerabilißimo vtero tuo. & in quibus te respexit, quando te cõmendauit sancto Io*anni apostolo & euãgelistæ.* Et *quando te exaltauit super choros angelorum .* Et *per illam sanctã ineffabilem humilitatẽ, in qua tu respõdisti archangelo*

ληφθῇ ὁ ὑιὸς θεοῦ, καὶ δι' ἐκείνου θεσπεσίου μυστηρίου, ὃ δηλαδὴ τότε ἐργάσατο ἐπὶ σοὶ πνεῦμα ἅγιον. καὶ δὶ ἐκείνης ἁγίας ἀῤῥήτης χάριτος, εὐσεβείας, εὐσπλαγχνίας, φιλίας τε καὶ ταπεινότητος, ἐξ ὧν ὁ ὑιός σου κατῆλθε σαρκωθῆναι ἐν τῇ σου κοιλίᾳ σεμνοτάτῃ, καὶ ἐν αἷς ἔβλεψέν σε, ὅταν σε ἁγίῳ Ἰωάννῃ ἐπιτρέψῃ ἀποστόλῳ μὲν καὶ εὐαγγελιστῇ καὶ ὅταν σε μετεωρίσῃ ὑπὲρ τοὺς τῶν ἀγγέλων χορούς. καὶ δὶ ἐκείνης ἁγίας ἀῤῥήτης ταπεινώσεως, ᾗ πρὸς τὸν ἄγγελον Γαβριὴλ εἶπες, ἰδοὺ ἡ δού-

δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου, καὶ διὰ τ͂ ἐνδοξοτάτων δεκαπέντε χαρμάτων, ὧν ἔσχες περὶ τῷ ὑιοῦ σου κυρίου ἡμῶν Ἰησοῦ χρισοῦ Καὶ δι' ἐκείνου ἁγίου καὶ μεγίσου οἰκτιρμοῦ, καὶ τοῦ στρυφνοτάτου τῆς καρδίας ἄλγους, οὗ ἔσχηκας ὅτε ὑιόν σου κύριον ἡμῶν Ἰησοῦν χρισὸν πρὸ σαυροῦ γεγυμνωμένον, καὶ ἐν αὐτῷ ὑψωμένον αἵωρον ἑώρακας σαυρωθέντα καὶ τετρωμένον, διψῶντι δὲ χολὴν παρατεθεῖσθαι, βοήσαντός τε ἤκουσας, καὶ θνήσκοντα ἐδέρκου. καὶ διὰ τὴν·

gelo Gabrieli. Ecce ancilla domini, fiat mihi secundum verbum tuum. Et per gloriosissima quindecim gaudia, quæ habuisti de filio tuo domino nostro Iesu Christo. Et per illam sanctam & maximam compassionem, & acerbissimum cordis dolorem, quem habuisti quando filium tuum dominum nostrum Iesum Christum ante crucem nudatum & in ipsa leuatum vidisti, pendentem, crucifixū, vulneratum, sitientem, fel apponi, clamantem audisti, & morientem vidisti. Et per quin-

quinque vulnera filij tui. Et *per contractionem viscerum tuorum, præ nimio dolore vulnerum suorum*. Et *per dolorem quem habuisti, quando vidisti eum vulnerari*. Et *per fontes sanguinis sui, & per omnem passionem eius, & per omnem dolorem cordis tui, & per fontes lachrymarum tuarum, vt cum omnibus sanctis & electis dei venias & festines in auxilium & consilium meum, in omnibus orationibus & requæstis meis, & in omnibus angustiis & ne-*

πέντε τραυμάτων υἱοῦ σου. καὶ διὰ τῆς τῶν σπλάγχνων σου συστολῆς ἀπὸ τῶν ἄγαν ἀλγέων ἐκ τοῦ τραυμάτων, καὶ διὰ τοῦ ἀλγεῖν, ὅπερ ἔπαθες ὅτε αὐτὸν ἔβλεψας τιτρωσκόμενον, καὶ διὰ πηγῶν αἵματος αὐτοῦ, καὶ διὰ πάθους αὐτοῦ ἅπαντος, καὶ διὰ τοῦ ἄλγους τῆς αὐτοῦ καρδίας, καὶ διὰ τῆς τῶν δακρύων σου πηγῆς, ὥς τε σαυτὴν μετὰ πάντων ἁγίων καὶ τῶν θεοῦ ἐκλεκτῶν ἔρχεσθαι καὶ σπεύδειν εἰς τὴν βοήθειαν καὶ συμβούλευσίν μου, ἐν εὐχαῖς μου ἁπάσαις, καὶ ταῖς αἰτήσεσί μου καὶ ἐν πάσαις στενοχωρίαις καὶ ἀναγ-

ἀνάγκαις μου, καὶ ἐν πᾶσιν ἐκείνοις πράγμασιν, οἷς τυγχάνω ποιήσων, ἢ φθεγξόμενος, ἢ διανοησόμενος ἡμέρας τε καὶ νύκτας πάσας, ὥρας καὶ τὰς ἐμοῦ βίου ῥοπάς. καὶ μοὶ σῷ ὑπηρέτῃ παρὰ τοῦ σοι φιλτάτου υἱοῦ τύγχανε τῆς ἀρετῆς πασῶν κορυφῆς τε καὶ πληρώματος, μετὰ παντὸς ἐλέου καὶ τῆς παρακλήσεως καὶ πάσης συμβουλίας, καὶ πάσης βοηθείας, καὶ εὐλογίας σὺν πάσης, καὶ ἅπαντος ἁγιάσματος, καὶ μετὰ σωτηρίας πάσης, εἰρήνης τε καὶ εὐημερίας, παντὸς δὲ χάρματος καὶ τῆς προθυμίας. Ἔτι δὲ τῆς τῶν ἁπάντων καλῶν

neceßitatibus meis. Et in omnibus illis rebus in quibus ego sum facturus, locuturus, aut cogitaturus omnibus diebus ac noctibus, horis atque momentis vita mea.

Et mihi famulo tuo impetres à dilecto filio tuo virtutum omnium complementum, cum omni misericordia & consolatione, omni consilio, omni adiutorio, omni benedictione, & sanctificatione, omni saluatione, pace, & prosperitate, omni gaudio & alacritate: etiam abundantiam omnium bono-

norum spiritualium & corporalium. Et gratiam spiritus sancti, qui me bene per omniam disponat, animam meam custodiat, corpus meum regat, mentem erigat, mores componat, actus probet, vota & desideria mea perficiat, cogitationes sanctas instituat, præterita mala indulgeat, præsentia emendet, futura moderetur. Vitam honestam & honorabilem mihi tribuat: fidem, spem, charitatem, casti-ta-

λῶν πνευματικῶν τε καὶ σωματικῶν εὐπορίας. καὶ τὴν χάριτος τοῦ πνεύματος ἁγίου, ὃ με καλῶς διὰ παντὸς διατάξοι, τὴν δὲ ψυχήν μου φυλάξοι, ἐμὸν δὲ σῶμα διαχειρίσοι, καὶ νοῦν ἐμοῦ ἀνάξοι. τὰ μὲν οὖν ἤθη μου συντάξοι, ἐμὴν δὲ τὴν πρᾶξιν εὐδοκιμάσοι, τὴν ὁμολογίαν μου καὶ τὸν πόθον διατελέσοι, καὶ τὰς διανοίας μου ἁγίας παιδοτριβήσοι, τὰ δὲ παρῳχημένα κακὰ χαρίσοιτο, τὰ παρόντα ἐπανορθώσοι, τὰ δὲ μέλλοντα διοικήσοι. ζωὴν σεβάσμιόν τε καὶ ἀξιότιμόν μοι παραδότω, πίστιν, ἐλπίδα, χάριν, σωφροσύνην

νίω, ταπείνωσιν, καὶ
ὑπομονὴν ἐμοὶ προστι-
θέτω. πέντε τὰς ἐμοῦ
σώματος αἰσθήσεις
κατευθυνέτω τε καὶ
ἀσφαλιζέτω. ἑπτὰ δὲ
τὰ τῆς εὐσπλαγχνίας
ἔργα διατελεῖν ἐμὲ
ποιήσοι. δώδεκα τῆς
πίστεως ἄρθρα καὶ δέ-
κα τὰς τοῦ νόμου ἐν-
τολὰς, βεβαιότατα
σώζειν καὶ πιστεύειν
με ποιήσοι, καὶ ἀπὸ
τῶν ἁμαρτιῶν ἑπτὰ
ἐγκληματικῶν με
ῥύσοιτο, καὶ συντη-
ρήσοι μέχρι τοῦ τε-
τελευτηκέναι, καὶ ἐν
ταῖς μου ἐσχάταις ἡ-
μέραις δεῖξόν μοι τὸ
σου πρόσωπον, καὶ
εὐαγγέλισόν μοι ἡ-
μέραν καὶ ὥραν τὴν
τῆς τελευτῆς καὶ κα
ταλύσεώς μου. καὶ ταύ
την

tatem, humilitatem, & patientiam mihi tribuat. Quinque sensus corporis mei regat & protegat. Septem opera misericordiæ complere me faciat. Duodecim articulos fidei, & decem præcepta legis firmiter tenere & credere me faciat. Et à septem peccatis criminalibus me liberet & defendat vsque in finem. Et in nouißimis diebus meis ostende mihi faciem tuam, & annuncies mihi diem & horam obitus & mortis meæ, Et hanc orationem

nem supplicem suscipias & exaudias, vitam æternam mihi tribuas. Audi & exaudi me dulcissima virgo Maria mater Dei & misericordiæ.

AMEN.

Symbolum sancti Athanasii.

Qvicunquevult saluꝰ esse ante omnia opꝰ est vt teneat catholicā fidem.

Quam nisi quisque integram, inuiolatāq; seruauerit, absq; dubio in æternum peribit.

Fides autē catholica hæc est, vt vnum deū in trinitate, & trinitatē in vnitate veneremur.

Ne-

τὴν προσευχὴν ἱκετηρίαν ἐνδέξαι καὶ εἰσάκουσον, καὶ ζωὴν αἰώνιον ἐπιδός. Ἄκουσόν μου καὶ εἰσάκουσον ὦ γλυκυτάτη παρθένος Μαρία μήτηρ θεοῦ καὶ τῆς ἐλεημοσύνης. Ἀμήν.

Σύμβολον τοῦ ἁγίου Ἀθανασίου.

Ὅστις βούληται σωθῆναι, πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίστιν.

Ἣν εἰ μὴ εἷς ἕκαστος σώαν καὶ ἀμώμητον τηρήσῃ, ἄνευ δισταγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται.

Πίστις δὲ ἡ καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα θεὸν ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι σεβώμεθα.

Μή

Μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες.

Neque confundentes perſonas, neque ſubſtantiam ſeparantes.

Ἄλλη γάρ ἐστιν ἡ ὑπόστασις τοῦ πατρὸς, ἄλλη τοῦ υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύματος.

Alia eſt enim perſona patris, alia filij, alia ſpiritus ſancti.

Ἀλλὰ πατρὸς, καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης.

Sed patris, & filij, & ſpiritus ſancti vna eſt diuinitas æqualis gloria, coæterna maieſtas.

Οἷος ὁ πατὴρ, τοιοῦτος ὁ υἱὸς, τοιοῦτο καὶ τὸ ἅγιον πνεῦμα.

Qualis pater, talis filius, talis ſpiritus ſanctus.

Ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Increatus pater, increatus filius, increatus ſpiritus ſanctus.

Ἀκατάληπτος ὁ πατὴρ, ἀκατάληπτος ὁ υἱὸς, ἀκατάληπτον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Immenſus PATER, immenſus FILIVS, immenſus SPIRITVS SANCTVS.

Aeternus pater, aeternus filius, aeternus ſpiritus ſanctus.

Et tamen non tres aeterni, ſed vnus aeternus.

Sicut non tres immenſi, nec tres increati, ſed vnus increatus, & vnus immenſus.

Similiter omnipotens pater, omnipotens filius, omnipotens ſpiritus ſanctus.

Et tamen non tres omnipotens, ſed vnus omnipotens.

Ita deus pater, deus filius, deus ſpiritus ſanctus.

Et tamẽ nõ tres dij, ſed vnus eſt deus.

Ita dominus pater dominus filius, dñs ſpiritus ſanctus.

Ἀ ἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος.

Ὥσπερ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι, ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

Ὁμοίως παντοδύναμος ὁ πατὴρ, παντοδύναμος καὶ ὁ υἱὸς, παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος.

Οὕτω θεὸς ὁ πατὴρ, θεὸς ὁ υἱὸς, θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς θεοὶ, ἀλλ' εἷς θεός.

Ὁμοίως κύριος ὁ πατὴρ κύριος ὁ υἱὸς, κύριος καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς κύριοι ἀλλ' εἷς ἐστὶ κύριος.

Et tñ non tres dñi, sed vnus est dñs.

Ὅπως ἰδίαν μίαν ἕκαστον ὑπόστασιν θεὸν καὶ κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα, οὕτω τρεῖς θεοὺς ἢ τρεῖς κυρίους λέγειν, τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα.

Quia sicut singillatim vnãquamq; psonã deũ ac dominũ confiteri christiana veritate compellimur, ita tres deos aut dominos dicere, catholica religione prohibemur.

Ὁ πατὴρ ἀπ' οὐδενός ἐστι ποιητὸς, οὔτε μὴν κτιστὸς, οὐδὲ γεννητός.

Pater à nullo est factus, nec creatus, nec genitus.

Ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς μόνου ἐστὶν, οὐ ποιητὸς, οὐ κτιστὸς ἀλλὰ γεννητός.

Filius à patre solo est, non factus, nec creatus sed genitus.

Τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐ ποιητὸν, οὐ κτιστὸν, οὐδὲ γεννητὸν, ἀλλ' ἐκπορευτόν.

Spiritus sanctus à patre & filio, non factus, nec creatus. nec genitus, sed procedens.

Εἷς οὖν πατὴρ οὐ τρεῖς πατέρες: εἷς υἱὸς, οὐ τρεῖς υἱοί: ἓν πνεῦμα ἅγι-

Vnus ergo pater non tres patres: vnus filius, non tres filij: vnus spiritus san-

sanctus, non tres spiritus sancti.

Et in hac trinitate nihil prius aut posterius, nihil maius aut minus, sed totæ tres personæ coæternæ sibi sunt, & coæquales.

Ita vt per omnia, sicut iam suprà dictum est, & vnitas in trinitate, & trinitas in vnitate veneranda sit.

Qui vult ergo saluus esse, ita de trinitate sentiat.

Sed necessarium est ad æternā salutem, vt incarnationem quoque domini nostri Iesu Christi fideliter credas,

Est ergo fides recta, vt credamus & con-

ἅγιον, οὐ τρία πνεύματα ἅγια.

Καὶ ἐν ταύτῃ τῇ τριάδι οὐδὲν πρότερον, ἢ ὕστερον, οὐδὲν μεῖζον ἢ ἔλαττον, ἀλλὰ σῶαι αἱ τρεῖς ὑποστάσεις καὶ συναΐδιαί εἰσιν ἑαυταῖς καὶ ἴσαι.

Ὥστε κατὰ πάντα, καθὼς εἴρηται, καὶ τὴν μονάδα ἐν τριάδι σέβεσθαι δεῖ, καὶ τὴν τριάδα ἐν μονάδι.

Ὁ γοῦν βουλόμενος σωθῆναι, οὕτω περὶ τῆς τριάδος φρονείτω.

Πλὴν ἀναγκαῖόν ἐστι πρὸς αἰώνιον σωτηρίαν, ὅπως καὶ τὴν ἐνσάρκωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ἔτι ὀρθῶς πιστεύσῃ.

Ἔστι γὰρ πίστις ὀρθή, ἵνα πιστεύωμεν, καὶ

ὁμολογῶμεν, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, θεὸς καὶ ἄνθρωπός ἐστι.

confiteantur, quia dominus noster Iesus Christus dei filius deus & homo est.

Θεὸς ἐκ τῆς οὐσίας τοῦ πατρὸς πρὸ αἰώνων γεννηθεὶς, καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς ἐν τῷ αἰῶνι τεχθείς.

Deus est ex substantia patris ante secula genitus, & homo ex substãtia matris in seculo natus.

Τέλειος θεὸς καὶ τέλειος ἄνθρωπος ἐκ ψυχῆς λογικῆς καὶ ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος.

Perfectus deus, perfectus homo, ex anima rationali & humana carne subsistens.

Ἴσος τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τοῦ πατρὸς κατὰ τὴν ἀνθρωπότητα.

Aequalis patri secundum diuinitatem, minor patre secundum humanitatem.

Ὃς εἰ καὶ θεὸς καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως, ἀλλ' εἷς ἐστὶ χριστός.

Qui licet deus sit, & homo, non duo tamen, sed vnus est Christus.

Εἷς δὲ, οὐ τροπῇ τῆς θεότητος εἰς σάρκα, ἀλ-

Vnus autem non conuersione diuinitatis in carnem, sed.

seu assumptione hu-manitatis in deum.	ἀλλὰ προσλήψει τῆς ἀνθρωπότητος εἰς θεόν.
Vnus omnino non confusione substantiæ, sed vnitate personæ.	Εἷς πάντως οὐ συγχύσει τῆς οὐσίας, ἀλλ' ἑνότητι τῆς ὑποστάσεως.
Nam sicut anima rationalis & caro, vnus est homo: ita deus & homo, vnus est Christus.	Καὶ γὰρ ὡς ψυχὴ λογικὴ καὶ ἡ σὰρξ εἷς ἐστὶν ἄνθρωπος: οὕτω καὶ ὁ θεάνθρωπος, εἷς ἐστὶ χριστός.
Qui passus est pro salute nostra, descendit ad inferos, tertia die resurrexit à mortuis.	Ὃς ἔπαθε διὰ τὴν σωτηρίαν ἡμῶν, κατῆλθεν εἰς ᾅδου, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν.
Ascendit ad cœlos, sedet ad dexteram dei patris omnipotentis, inde venturus est iudicare viuos & mortuos.	Ἀνῆλθεν εἰς οὐρανούς, κάθηται ἐν δεξιῶν τῷ πατρὸς καὶ θεοῦ παντοκράτορος, ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς.
Ad cuius aduentum omnes homines resurgere habent cum corporibus suis, & red-	Οὗ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, καὶ ἀπο-

ἀποδώσουσιν ἐξ ἰδίων ἔργων τὴν ἀπολογίαν.

Καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύσονται εἰς ζωὴν αἰώνιον: οἱ δὲ τὰ φαῦλα, εἰς τὸ πῦρ τὸ αἰώνιον.

Αὕτη ἐστὶν ἡ καθολικὴ πίστις, ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

Δόξα πατρί.

reddituri sunt de factis propriis rationem.

Et qui bona egerunt, ibūt in vitam aeternam: qui verò mala, in ignem aeternum

Haec est fides catholica: quam nisi quisque fideliter firmiterq; crediderit, salvus esse non poterit.

Gloria patri.

ΤΈΛΟΣ.

FINIS.

ΩΔΗ ΜΩΣΕΩΣ ΕΝ τῇ ἐξόδῳ.

Ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασαι, ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. Οὗτός μου θεὸς, καὶ δοξάσω αὐτὸν, θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ, ἅρματα φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. πόντῳ ἐκάλυψεν αὐτοὺς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. ἡ δεξιά σου κύριε δεδόξασαι ἐν ἰσχύϊ. Ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθροὺς. καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους, ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω τὴν ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου. ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα,

ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.
Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε; τίς ὅμοιός σοι;
δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δό-
ξαις, ποιῶν τέρατα, ἐξέτεινας τὴν δεξιάν
σου, κατέπιεν αὐτοὺς γῆ. ὡδήγησας τῇ δι-
καιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυ-
τρώσω. παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κα-
τάλυμα ἅγιόν σου. ἤκουσαν ἔθνη καὶ ὠργί-
σθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας φι-
λιστιείμ. τότε ἔσπευσαν ἡγεμόνες ἐδώμ, καὶ
ἄρχοντες μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος,
ἐτάκησαν πάντες οἱ κατοικοῦντες χαναάν.
ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος καὶ τρόμος, με-
γέθει βραχίονός σου ἀπολιθωθήτωσαν, ἕως
ἂν παρέλθοι ὁ λαός σου κύριε, ἕως ἂν πα-
ρέλθοι ὁ λαός σου οὗτος ὃν ἐκτήσω,
εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος
κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν
σου, ὃ κατειργάσω κύριε, ἁγίασμα κύριε, ὃ
ἡτοίμασαν αἱ χεῖρές σου. κύριος βασιλεύων
τῶν αἰώνων καὶ ἐπ᾽ αἰῶνα, καὶ ἔτι; ὅτι εἰσῆλ-
θεν ἵππος φαραὼ σὺν ἅρμασι καὶ ἀναβά-
ταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς
κύριος τὸ ὕδωρ τῆς θαλάσσης, οἱ δὲ υἱοὶ ἰσ-
ραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς
θαλάσσης.

CANTICVM MOSIS in exitu. Exo. 15.

CAntem⁹ domino, gloriosè enim magnificatus est equum & ascensorē deiecit in mare, Fortitudo mea, & laus mea dominus, & factus est mihi in salutem. Iste deus meus, & glorificabo eum: deus patris mei, & exaltabo eum Dominus quasi vir pugnator, omnipotens nomē eius, currus Pharaonis & exercitum eius procit in mare, Electi principes eius submersi sunt in mari rubro, abyssi operuerūt eos: descenderūt in profundum quasi lapis. Dextera tua domine magnificata est in fortitudine, dextera tua domine percussit inimicū et in multitudine gloriæ tuæ deposuisti aduersarios tuos. Misisti irā tuam quæ deuorauit eos sicut stipulam, & in spiritu furoris tui congregatæ sunt abyssi in medio mari. Dixit inimicus: Persequar & comprehēdam, diuidā spolia, implebitur anima mea: euaginabo gladium meum, interficiet eos manus mea. Flauit spiritus tuus, et operuit eos mare: submersi sunt quasi plumbum in aquis

aquis vehementibus. Quis similis tui in for tibus domine? quis similis tui? Magnificus in sanctitate, terribilis atque laudabilis fa ciens mirabilia. Extendisti manum tuam, & deuorauit eos terra. Dux fuisti in misericordia tua populo quem redemisti. Et portasti eū in fortitudine tua ad habitaculū sanctum tuum. Audierunt populi, & irati sunt: dolores obtinuerūt habitatores Philistium. Tūc conturbati sunt principes Edom robustos Moab obtinuit tremor, obriguerūt omnes habitatores Chanaam. Irruit super eos formido, & pauor in magnitudine brachij tui. Fiant immobiles quasi lapis, donec pertrāseat populus tuus domine, donec pertranseat populus tuus iste quem possedisti. Introduces eos & plantabis in monte hæreditatis tuæ firmissimo habitaculo tuo quod operatus es domine, sanctuariū tuū domine, quod firmauerunt manus tuæ Dominus regnabit in æternum & vltrá. Ingressus est enim eques Pharao cum curribus et equitibus suis in mare, & reduxit super eos dominus aquas maris: filij autem Israël ambulauerunt per siccum in medio eius.

ἘΚ ΤΩ͂Ν ἘΥΣΕΒΊΟΥ
Συγγραμμάτων Ἐκκλησιαστικῆς ἱστορίας α.

Ἄγβαρος τοπάρχης Ἐδέσης Ἰησοῦ σωτῆρι ἀγαθῷ ἀναφανέντι ἐν τόπῳ Ἱεροσολύμων χαίρειν. ἤκουσταί μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων, ὡς ἄνευ φαρμάκων καὶ βοτανῶν ὑπὸ σοῦ γινομένων. ὡς γὰρ λόγος, τυφλοὺς ἀναβλέπειν ποιεῖς, χωλοὺς περιπατεῖν, καὶ λεπροὺς καθαρίζεις, καὶ ἀκάθαρτα πνεύματα καὶ δαίμονας ἐκβάλλεις, καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις, καὶ νεκροὺς ἐγείρεις. καὶ ταῦτα πάντα ἀκούσας περὶ σοῦ, κατὰ νοῦν ἐθέμην τὸ ἕτερον τῶν δύο, ἢ ὅτι σὺ εἶ ὁ θεὸς, καὶ καταβὰς ἀπὸ τοῦ οὐρανοῦ ποιεῖς ταῦτα, ἢ υἱὸς εἶ τοῦ θεοῦ ποιῶν ταῦτα. διὰ τοῦτο τοίνυν γράψας ἐδεήθην σου σκυλῆναι πρός με, καὶ τὸ πάθος ὃ ἔχω, θεραπεῦσαι. καὶ γὰρ ἤκουσα ὅτι καὶ Ἰουδαῖοι καταγογγύζουσί σου, καὶ βούλονται κακῶσαί σε. πόλις δὲ μικροτάτη μοι ἐστὶ καὶ σεμνή, ἥτις ἐξαρκεῖ ἀμφοτέροις.

EX HISTORIA ECCLE*siastica Eusebij, primo libro.*

A Gbarus Edessæ Toparcha IESV *seruatori bono in Hierosolymorum locis agenti Salutem. Audiuimus de te, deq; tuis curationibus, vt quæ sine pharmacis, & herbis, per te fiant.* Etenim, *vt fama est, cæcos videre facis, claudos ambulare, leprosos quoq; mūdas, & immūdos spiritus ac dæmones eÿcis, eosq; qui diuturnis morbis afflictantur, curas, atq; mortuos suscitas. Quibus omnibus de te auditis, è duobus alterum in animum induxi, aut quòd tu deus es qui de cœlo descendisti, vt hæc facias, aut quòd filius dei es, qui hæc facis. Quapropter & his scriptis te rogauerim, ne pigeat ad me venire, & quo teneor morbum curare.* Etenim *audiui quòd etiam* Iudei *aduersum te murmurant, téque affligere volunt.* Est *autem mihi minima quidem ciuitas, sed honesta que vtrique sufficiat.*

ΕΠΙΣΤΟΛΗ ἸΗΣΟΥ̃ πρὸς Ἄγβαρον.

Μακάριος εἶ πιστεύσας ἐν ἐμοί, μὴ ἑωρακώς με. γέγραπται γὰρ περὶ ἐμοῦ, τοὺς ἑωρακότας με μὴ πιστεύειν ἐν ἐμοί, ἵνα οἱ μὴ ἑωρακότες αὐτοὶ πιστεύσωσι καὶ ζήσωνται. περὶ δὲ οὗ ἔγραψάς μοι ἐλθεῖν πρὸς σέ, δέον ἐστὶ πάντα δι' ἃ ἀπεστάλην, ἐνταῦθα πληρῶσαί με, καὶ μετὰ τὸ πληρῶσαι, οὕτως ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντα: καὶ ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοι τινὰ τῶν μαθητῶν μου, ἵνα ἰάσηταί σου τὸ πάθος, καὶ ζωὴν σοι καὶ τοῖς σὺν σοὶ παράσχηται.

EPISTOLA IESV AD Agbarum,

Beatus es, quia in me credidisti, cùm ipse me non videris. Scriptum est enim de me, quia qui me vident non credent in me, vt qui non vident me, credant, & viuant. De eo autem quod scripsisti mihi, vt veniam ad te, Oportet me omnia propter quæ missus sum implere:

Et postquàm compleuero, assumi ad eum qui misit me. Postquàm verò assumptus fuero, mittam tibi aliquem ex discipulis meis: qui curet ægritudinem tuam, & vitam tibi, & his qui tecum sunt, præstet.

Esaia, 63.

Ἐπίσκεψον κύριε ἐκ τοῦ οὐρανοῦ καὶ
ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δο-
ξῆς σου. ποῦ ἐστὶν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς
σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν
οἰκτιρμῶν σου; ὅτι ἀνέσχου ἡμῶν. σὺ γὰρ εἶ πα-
τὴρ ἡμῶν. ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ
Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ κύριε
πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς ἀπ' ἀρχῆς τὸ ὄ-
νομά σου, ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡ-
μᾶς κύριε ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρωσας τὰς
καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε. Ἐπίστρεψον
διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κλη-
ρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν
τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν
κατεπάτησαν τὸ ἁγίασμά σου, ἐγενόμεθα
ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδ'
ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.

Esaie 63.

ASpice è cœlo, & vide de habitaculo sanctitatis tuæ et gloriæ tuæ, Vbi est Zelus tuus, & fortitudo tua, multitudo viscerum tuorum & miserationũ tuarum? quoniã sustinebas nos. Tu enim es pater noster, quia Abraham nõ cognouit nos, & Israël non agnouit nos, sed tu domine pater noster libera nos, à principio nomen tuum super nos erit. Quare seduxisti nos domine de via tua, indurasti corda nostra ne timeremus te? Cõuertere propter tribus hæreditatis tuæ, vt modicũ possideamus montis sancti tui Aduersari nostri cõculcauerunt sanctuariũ tuum: facti sumus quasi à prĩcipio, quãdo nõ dominareris nostri, neq; inuocaretur nomen tuum super nos.

ἸΩΑΝΝΗΣ Ὁ ΔΑΜΑΣΚΗΝΟΣ περὶ ἀναστάσεως.

Πιστεύομεν δὲ καὶ ἀνάστασιν νεκρῶν. ἔσται γὰρ ὄντως, ἔσται νεκρῶν ἀνάστασις. ἀνάστασιν δὲ λέγοντες, σωμάτων φαμὲν ἀνάστασιν. ἀνάστασις γάρ ἐστι δευτέρα τοῦ πεπτωκότος στάσις. αἱ γὰρ ψυχαὶ ἀθάνατοι οὖσαι, πῶς ἀναστήσονται; εἰ γὰρ θάνατον ὁρίζονται, χωρισμὸν ψυχῆς ἀπὸ σώματος, ἀνάστασίς ἐστι πάντως, συνάφεια πάλιν ψυχῆς τε καὶ σώματος, καὶ δευτέρα τοῦ διαλυθέντος καὶ πεσόντος ζώου στάσις. αὐτὸ οὖν τὸ σῶμα, τὸ φθειρόμενον καὶ διαλυόμενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον. οὐκ ἀδυνατεῖ γὰρ ὁ ἐν ἀρχῇ ἐκ τοῦ χοὸς τῆς γῆς αὐτὸ συστησάμενος, πάλιν ἀναλυθὲν καὶ ἀποστραφὲν εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη κατὰ τὴν τοῦ δημιουργοῦ ἀπόφασιν, πάλιν ἀναστῆσαι αὐτό. εἰ γὰρ μή ἐστιν ἀνάστασις, φάγωμεν, καὶ πίωμεν, τὸν ἡδονὸν καὶ ἀπολαυστικὸν βίον μετέλθωμεν. εἰ οὐκ ἔστιν ἀνάστασις, ἐν τίνι τῶν ἀλόγων διαφέρομεν; εἰ οὐκ ἔστιν ἀνάστασις, μακαρίσωμεν τὰ θηρία τοῦ ἀγροῦ τὰ ἄλυπον ἔχοντα βίον. εἰ οὐκ ἔστιν ἀνάστασις, οὐδὲ θεός ἐστιν, οὐδὲ πρόνοια,

αὐτο-

IOANNES DAMASCENVS de Resurrectione.

CRedimus resurrectionem mortuorũ. Erit enim omnino, erit mortuorum resurrectio. Sed cùm resurrectionẽ dicimus, corporum resurrectionem intelligimus. Est enim resurrectio, eius quod cecidit secunda surrectio. Etenim animæ immortales cùm sint, quomodo resurgent? Quod si mortem definiunt, animæ à corpore separationem, resurrectio planè erit animæ & corporis iterata connexio, & secunda dissoluti iam, lapsique animalis surrectio. Ipsum igitur corpus quod corrumpitur atque dissoluitur, idem incorruptibile resurget. Neque enim impotens est, qui ab initio ex terræ puluere ipsum composuit, iam dissolutum & in terrã cõuersum, de qua ex creatoris edicto sumptũ erat de integro suscitare. Quòd si resurrectio nõ est, edamus, bibamus, in deliciis atq; voluptatibus vitam transigamus. Si nõ est resurrectio, in quo à brutis differimus? Si non est resurrectio, feras agrestes beatas dicamus q̃ vitam agunt molestiæ expertem. Si nõ est resurrectio, neque deus est, neq; prouidentia:

αὐτομάτως δὲ πάντα ἄγονται καὶ φέροντι. ἰδοὺ γὰρ ὁρῶμεν πλείστους δικαίους μὲν, πενομένους καὶ ἀδικουμένους, καὶ μηδεμιᾶς ἐν τῷ παρόντι βίῳ τυγχάνοντας ἀντιλήψεως, ἁμαρτωλοὺς δὲ καὶ ἀδίκους, ἐν πλούτῳ καὶ πάσῃ τρυφῇ ἐναθλοῦντας. καὶ τίς ἂν τοῦτο δικαιοκρισίας ἢ σοφῆς προνοίας ἔργον εὖ φρονῶν ὑπολάβοι; ἔσται οὖν, ἔσται ἀνάστασις. δίκαιος γὰρ ὁ θεὸς, καὶ τοῖς ὑπομένουσιν αὐτὸν μισθαποδότης γίνεται. εἰ μὲν οὖν ἡ ψυχὴ μόνη τοῖς τῆς ἀρετῆς ἀγῶσιν ἐνήθλησε, μόνη καὶ στεφανωθήσεται· καὶ εἰ μόνη ταῖς ἡδοναῖς ἐνεκυλίσθη, μόνη δικαίως ἂν ἐκολάζετο, ἀλλ' ἐπεὶ μήτε τὴν ὕπαρξιν κεχωρισμένην ἔσχον, μήτε τὴν ἀρετὴν, μήτε τὴν κακίαν ἡ ψυχὴ μετῆλθε δίχα τοῦ σώματος, δικαίως ἄμφω ἅμα καὶ τῶν ἀμοιβῶν τεύξονται. μαρτυρεῖ δὲ καὶ ἡ θεία γραφὴ, ὅτι ἔσται τῶν σωμάτων ἀνάστασις. φησὶ γοῦν ὁ θεὸς πρὸς Νῶε μετὰ τὸν κατακλυσμὸν, ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω, ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτὸ, καὶ ἐκ χειρὸς παντὸς ἀνθρώπου ἀδελφοῦ αὐτοῦ ἐκζητήσω τὴν ψυχὴν αὐτοῦ. ὁ ἐκ-

χέων

sed temerè omnia aguntur ac feruntur. Ecce. complures videmus iustos egentes iniurijs affectos, omnique in hac præsenti vita subsidio destitutos: Peccatores vero, & iniustos, diuitiis, omnibúsque deliciis affluentes. Ecquis autem, qui rectè sapiat, recti hoc iudicij, aut sapientis prouidētiæ opus existimauerit? Erit igitur, erit resurrectio. Iustus enim deus, et ijs qui sustinuerint ipsum, mercedē retribuet, Siquidem igitur anima sola virtutis certamē sustinuit, sola coronabitur: & si voluptatibus, sola implicita fuit, sola & ipsa meritò punientur. Verùm quia neque substantiā animæ habebat separatā, neque virtutis aut vitij citra corpus sola particeps fuit: meritò sanè parem simul ambo mercedem ferent. Testatur autem & scriptura sacra, quòd corporum sit futura resurrectio. Locutus est itaque, post diluuium, Deus ad Noë, dicens. Quasi olera virentia tradidi vobis omnia, excepto quòd carnem cum sanguine animæ non comedetis. Nam & sanguinem animarum vestrarum requiram: de manu cunctarum bestiarum requiram illum, & de manu omnis homi-

χέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐ-
τοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα
τὸν ἄνθρωπον. πῶς ἐκζητήσει τὸ αἷμα τοῦ
ἀνθρώπου ἐκ χειρὸς πάντων τῶν θηρίων; ἢ ὅ-
τι ἀναστήσει τὰ σώματα τῶν ἀνθρώπων τῶν
ἀποθνησκόντων; οὐ γὰρ ἀντὶ τοῦ ἀνθρώπου
ἀποθανεῖται τὰ θηρία. καὶ πάλιν τῷ Μωϋ-
σῇ, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ
καὶ ὁ θεὸς Ἰακώβ. οὐκ ἔστιν ὁ θεὸς, νεκρῶν θεὸς
τῶν ἀποθανόντων, καὶ οὐκ ἔτι ἐσομένων, ἀλλὰ
ζώντων ὧν αἱ ψυχαὶ μὲν ἐν χειρὶ αὐτοῦ ζῶσι.
τὰ δὲ σώματα πάλιν διὰ τῆς ἀναστάσεως ζύ-
σεται. καὶ ὁ θεοπάτωρ Δαβὶδ φησὶ πρὸς τὸν
Θεὸν ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλεί-
ψουσιν, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
ἰδοὺ περὶ τῶν σωμάτων ὁ λόγος. εἶτα ἐπά-
γει· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθή-
σονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς
γῆς. καὶ Ἡσαΐας δέ. ἀναστήσονται οἱ νεκροὶ,
καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις. δῆ-
λον δὲ, ὡς οὐχ αἱ ψυχαὶ ἐν τοῖς μνημείοις τί-
θενται, ἀλλὰ τὰ σώματα. καὶ ὁ μακάριος
δὲ Ἰεζεκιήλ. καὶ ἐγένετο φησὶν ἐν τῷ με προ-
φητεῦσαι, καὶ ἰδοὺ σεισμός· καὶ προσήγαγε
τὰ ὀστᾶ, ὀστέον πρὸς ὀστέον, ἕκαστον πρὸς τὴν ἁρ-
μονίαν αὐτοῦ. καὶ εἶδον, καὶ ἰδοὺ ἐπεγίνετο
αὐ-

nis fratris eius requiram animam eius. Qui effuderit sanguinem hominis, pro sanguine illius, effundetur sanguis eius. Quoniam ad imaginem dei feci hominem. quomodo requiret sāguinē hominis de manu cūctarū bestiarū? An nō quia resuscitabit corpora hominū vita defunctorū? Neq; enī pro hoïe bestiæ morietur. Et rursus Mosi. Ego sum deus Abrahā. Deus Isaac, et Deus Iacob, Deus non est deus mortuorum, qui toti moriuntur, nec amplius erunt, sed viuentium, quorum animæ in manu eius viuunt, corpora verò, rursus per resurrectionem viuent Et deiparens Dauid dicit ad Deum. Auferes spiritum eorum & in terram suam conuertentur. En de corporibus sermo. Deinde subiungit, Emittes spiritum tuum & creabuntur, & renouabis faciem terræ. Et Esaias. Resurgent mortui, & qui in monumentis sunt suscitabuntur. Atqui manifestum est quòd animæ in monumentis nequaquam reponuntur, sed corpora. Et beatus Ezechiel, Et factum est, inquit, cum prophetarem, & ecce terræ motus & adduxit os ad os, vnūquodq; ad iūcturā suā. Et vidi, & ecce ipsis inducebantur

αὐτοῖς νεῦρα, καὶ σάρκες ἀνεφύοντο, καὶ ἀνέβαινον ἐπ' αὐτὰ, καὶ περιετάθη αὐτοῖς δέρματα ἐπάνωθεν. εἶτα διδάσκει πῶς κελευσθέντα ἐπανῆλθε τὰ πνεύματα. καὶ ὁ θεῖος δὲ Δανιὴλ φησί. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἑστηκὼς ὑπὲρ τοὺς υἱοὺς τοῦ λαοῦ σου. καὶ ἔσται καιρὸς θλίψεως, θλίψις οἵα οὐ γέγονεν, ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς, ἕως τοῦ καιροῦ ἐκείνου. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός, σου πᾶς ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ βίβλῳ, καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται. οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον. καὶ οἱ συνιέντες, ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν, ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας, καὶ ἔτι ἐκλάμψουσι. πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι λέγων ἐξεγερθήσονται. δῆλον ὡς ἀνάστασιν ἐμφαίνει σωμάτων. οὐ γὰρ δήπου τις φήσει τὰς ψυχὰς ἐν γῆς χώματι καθεύδειν. ἀλλὰ μὴν καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, τὴν τῶν σωμάτων ἀριδήλως ἀνάστασιν παραδίδωκεν. ἀκούσονται γάρ, φησιν, οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ

ἐξε-

nerui & carnes renascebantur, & ascendebant super ea, & superextentæ sunt ipsis cutes desuper. Tum inde docet quopacto dei iussu sint ingressi spiritus. Diuinus verò Daniel dicit. In illo tempore consurget Michael princeps magnus, qui stat pro filiis populi tui. Et erit tempus afflictionis, quale non fuit ab eo ex quo gẽtes esse cœperunt in terra, vsque ad tẽpus illud. Et in tempore illo, saluabitur populus tuus, omnis qui inuentus fuerit scriptus in libro, Et multi de his qui dormiunt in puluere terræ, resurgent. Alij in vitam æternã, Alij in opprobrium & confusionem sempiternam, Qui autem docti fuerint, fulgebũt quasi splendor firmamenti, Et qui ad iustitiam erudiunt multos, quasi stellæ in aeternum & vltrà fulgebunt. Cùm autem dicit, Multi de his qui dormiunt in terræ puluere resurgent, certum est quòd corporum resurrectionem innuit. Neque etenim dixerit quispiam, animas in terræ puluere dormire. Sed & dominus, in sacris euãgeliis, corporũ resurrectionẽ perspicuè tradidit, Audient enim, inquit, qui in monumentis sunt vocem filij dei, Et

ibunt

ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως: ἐν τοῖς μνημείοις δὲ τὰς ψυχὰς, πώποτε τῶν εὖ φρονούντων εἴποι τις ἄν; οὐ λόγῳ δὲ μόνον, ἀλλὰ καὶ ἔργῳ τὴν τῶν σωμάτων ἀνάστασιν ὁ κύριος ἐφανέρωσε. πρῶτον μὲν, τεταρταῖον καὶ ἤδη φθαρέντα καὶ ὀδωδότα ἐγείρας τὸν Λάζαρον. οὐ ψυχὴν γὰρ ἐστερημένην σώματος, ἀλλὰ καὶ σῶμα σὺν τῇ ψυχῇ, καὶ οὐχ ἕτερον, ἀλλ᾽ αὐτὸ τὸ φθαρὲν ἤγειρε. πῶς γὰρ ἂν ἐγινώσκετο ἢ ἐπιστεύετο ἡ τοῦ τεθνεῶτος ἀνάστασις, μὴ τῶν χαρακτηριστικῶν τῆς ὑποστάσεως ἰδιωμάτων ταύτην συνιστώντων; ἀλλὰ Λάζαρον μὲν, πρὸς ἔνδειξιν τῆς οἰκείας θεότητος, καὶ πίστωσιν τῆς αὐτοῦ τε, καὶ ἡμῶν ἀναστάσεως ἤγειρε, πάλιν ὑποστρέψειν μέλλοντα εἰς θάνατον. αὐτὸς δὲ ὁ κύριος ἀπαρχὴ τῆς τελείας, καὶ μηκέτι θανάτῳ ὑποπιπτούσης ἀναστάσεως γέγονε. διὸ δὴ καὶ ὁ θεῖος Ἀπόστολος ἔλεγεν. εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ χριστὸς ἐγήγερται. ἄρα οὖν ματαία ἡ πίστις ἡμῶν, ἄρα ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν. καὶ ὅτι χριστὸς ἐγήγερται ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πρωτότοκος ἐκ νεκρῶν. καὶ

πά

ibunt qui bona egerũt, in resurrectionẽ vitæ. qui verò mala egerũt, in resurrectionẽ iudicij. Sed in monumẽtis animas esse, quis vnq̃ sanæ mẽtis dixerit? Quin & domin⁹ corporũ resurrectionẽ nõ tantũ sermone, sed & opere cõprobauit. Primũ quatriduanũ, & iam corruptum olentémque Lazarum suscitans. Neque vero animam corpore priuatam, sed cum corpore & animam, Nec aliud, sed hoc ipsum quod putruerat suscitauit. Etenim quonãmodo cognosceretur, aut crederetur mortui resurrectio, nisi ex signalibus atque indiuidualibus ijs quæ ipsam constituunt essentiæ proprietatibus? Atqui Lazarum quidem, tum ad suæ diuinitatis ostensionem, tum propriæ nostræque resurrectionis fidem, morti iterum occubiturum, suscitauit, Ipse vero dominus perfectæ, & quæ morti amplius non subiacet, resurrectionis, primitiæ factus est. Quare & diuinus apostolus dicebat Si mortui non resurgunt, neque Christus resurrexit superuacanea itaque est fides nostra, ad huc sumus in peccatis nostris. At Christus surrexit primitiæ eorũ qui dormiunt, & primogenitus ex mortuis. Et iterũ. Nã si credimus

πάλιν. εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε, καὶ ἀνέστη, οὕτω καὶ ὁ θεὸς τοὺς κοιμηθέντας, διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. οὕτως ἔφη, ὡς ὁ κύριος ἀνέστη. ὅτι δὲ ἡ τοῦ κυρίου ἀνάστασις, σώματος ἀφθαρτισθέντος καὶ ψυχῆς ἕνωσις ἦν (ταῦτα γὰρ τὰ διαιρεθέντα) δῆλον. ἔφη γὰρ λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομήσω αὐτόν. μάρτυς δὲ ἀξιόπιστος τὸ ἱερὸν εὐαγγέλιον, ὡς περὶ τοῦ ἰδίου ἔλεγε σώματος. ψηλαφήσατέ με καὶ ἴδετε (φησὶ τοῖς οἰκείοις μαθηταῖς ὁ κύριος, πνεῦμα δοκοῦσιν ὁρᾶν) ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι, ὅτι πνεῦμα, σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευράν, καὶ τῷ Θωμᾷ προτείνει πρὸς ψηλάφησιν. ἆρα οὐχ ἱκανὰ ταῦτα τὴν τῶν σωμάτων πιστώσασθαι ἀνάστασιν; πάλιν φησὶν ὁ θεῖος ἀπόστολος. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. καὶ πάλιν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει, σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ. σπείρεται σῶμα ψυχικὸν, ἤτοι παχύ τε καὶ θνητὸν, ἐγείρεται σῶμα πνευματικὸν, ἄτρεπτον, ἀπα-

πα-

mus quòd Iesus mortuus est, & resurrexit, Sic et deus eos qui obdormierũt per Iesum ad ducet cum illo. Sic, inquit, vt dñs surrexit. Certũ autẽ est, quòd dñi resurrectio corporis est facti incorruptibilis & animæ cõiũctio, ea etenim sunt quæ diuisa erant. Dixit enim. Soluite tẽplũ hoc, & in triduo ædificabo illud. Testis fide dignus sanctũ Euãgeliũ est, quòd de suo corpore loqueretur. Cõtrectate me & videte, inquit dñs suis discipulis spiritũ se videre arbitrantibus, quoniã ego sum, nõ immutatus, quoniã spiritus carnem & ossa nõ habet, sicut me videtis habere. Et cùm hæc dixisset, ostẽdit eis manus ac latus, Thomæ vero ea contrectãda porrexit. Sed nũquid hæc satis sunt ad fidẽ de corporũ resurrectione faciẽdam? Rursus, inquit apostolus, Oportet corruptibile hoc induere incorruptibilitatẽ: & mortale hoc induere immortalitatẽ. Et iterũ. Seminatur in corruptiõe, resurgit in incorruptibilitate: Seminatur in infirmitate, resurgit in potẽtia. Seminatur in ignominia, resurgit in gloria. Seminatur corp⁹ animale, crassum videlicet ac mortale, resurgit corp⁹ spirituale, immutabile, impaßibile tenue, hoc enim significat spirituale, quale,

do-

παθὲς, λεπτόν. (τοῦτο γὰρ σημαίνει πνευμα-
τικὸν) οἷον τὸ τοῦ κυρίου σῶμα μετὰ τὴν ἀ-
νάστασιν, κεκλεισμένων τῶν θυρῶν διερχόμε-
νον, ἀκοπίαστον, τροφῆς, ὕπνου, καὶ πόσεως
ἀνενδεές. ἔσονται γάρ φησιν ὁ κύριος, ὡς οἱ
ἄγγελοι τοῦ θεοῦ. οὐ γάμος ἔτι, οὐ τεκνογονία.
φησὶ γοῦν ὁ θεῖος ἀπόστολος, ἡμῶν γὰρ τὸ
πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σω-
τῆρα ἀπεκδεχόμεθα κύριον ἰησοῦν, ὃς με-
ταχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡ-
μῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώ-
ματι τῆς δόξης αὐτοῦ, οὐ τὴν εἰς ἑτέραν μορφὴν
μεταποίησιν λέγων· ἄπαγε, τὴν ἐκ φθορᾶς
δὲ μᾶλλον εἰς ἀφθαρσίαν ἐναλλαγήν. ἀλλ'
ἐρεῖ τις πῶς ἐγείρονται οἱ νεκροί; ὢ τῆς ἀπιστίας,
ὢ τῆς ἀφροσύνης. ὁ χοῦν εἰς σῶμα βουλήσει μόνῃ
μεταβαλὼν, ὁ μικρὰν ὕλης ῥανίδα τοῦ σπέρ-
ματος ἐν τῇ μήτρᾳ αὔξειν προστάξας, καὶ τὸ
πολυειδὲς τοῦτο καὶ πολύμορφον ἀποτελεῖν τοῦ
σώματος ὄργανον, οὐχὶ μᾶλλον τὸ γεγονὸς καὶ
διαρρυὲν ἀναστήσει πάλιν, μόνον βουληθείς;
ποίῳ δὲ σώματι ἔρχονται; ἄφρον. εἰ τοῖς τοῦ θεοῦ
λόγοις οὐ πιστεύειν ἡ πώρωσις συγχωρεῖ, κἂν
τοῖς ἔργοις πίστευε. σὺ γὰρ ὃ σπείρεις οὐ ζωο-
ποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. καὶ ὃ σπείρεις, οὐ τὸ
σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν
κόκ-

dñi corpus post resurrectionẽ, clausis ianuis ingrediens, indefatigabile, non cibi, non somni, nō potus indigens. Erūt enim, inquit dominus, sicut angeli dei nullæ tum nuptiæ, nulla liberorum procreatio. Dicit quoque Sanctus apostolus, Nostra conuersatio in cœlis, est, ex quo & seruatorem expectamus dominum Iesum Christum, qui trāsfigurabit corpus nostrum humile, vt conforme reddat corpori suo glorioso. Non dicit transfigurationẽ in aliam formam, absit hoc, sed magis mutationem corruptionis in incorruptibilitatẽ. Verùm dicet aliquis, Quonammodo resurgunt mortui? O incredulitatem? O insipientiam? Qui puluerem, sola voluntate, in corpus trasmutat. Qui exiguam materiæ, seminis scilicet, guttam, vt in vtero inaugescat precipit, & in varium illud ac multiforme corporis organum euadat, Nunquid faciliùs id quod fuit, iamq; dissolutum est, rursus sola voluntate resuscitabit? Sed quali corpore veniunt? Stulte, Si dei verbis cæcitas credere non permittit, saltem operibus crede. Tu quod seminas non viuificatur, nisi mortuum fuerit, Et hoc quod seminas, non corpus quod nascetur seminas, sed nudum

gra-

κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν λοιπῶν. ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων, τὸ ἴδιον σῶμα. θέασαι τοίνυν, ὡς ἐν τάφοις, ταῖς αὔλαξι τὰ σπέρματα καταχωννύμενα. τίς ὁ τούτοις ῥίζας ἐντιθεὶς, καλάμην, καὶ φύλλα, καὶ ἀστάχυς καὶ τοὺς λεπτοτάτους ἀνθερίκας; οὐχ ὁ τῶν ὅλων δημιουργός; οὐ τοῦ τὰ πάντα τεκτηναμένου τὸ πρόσταγμα; οὕτω τοίνυν πίστευε, καὶ τῶν νεκρῶν τὴν ἀνάστασιν ἔσεσθαι θείᾳ βουλήσει καὶ νεύματι. σύνδρομον γὰρ ἔχει τῇ βουλήσει τὴν δύναμιν. ἀναστησόμεθα τοιγαροῦν τῶν ψυχῶν πάλιν ἑνουμένων τοῖς σώμασιν, ἀφθαρτιζομένοις καὶ ἀποδυομένοις τὴν φθοράν. καὶ παραστησόμεθα τῷ φοβερῷ τοῦ χριστοῦ βήματι. καὶ παραδοθήσεται ὁ διάβολος καὶ οἱ δαίμονες αὐτοῦ, καὶ ὁ ἄνθρωπος αὐτοῦ ἤγουν ὁ Ἀντίχριστος, καὶ οἱ ἀσεβεῖς, καὶ οἱ ἁμαρτωλοὶ εἰς τὸ πῦρ τὸ αἰώνιον. οὐχ ὑλικὸν, οἷον τὸ πῦρ ἡμῖν, ἀλλ' οἷον εἰδείη ὁ θεός. οἱ δὲ τὰ ἀγαθὰ πράξαντες, ἐκλάμψουσιν ὡς ὁ ἥλιος σὺν ἀγγέλοις εἰς ζωὴν αἰώνιον σὺν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ χριστῷ, ὁρῶντες αὐτὸν ἀεὶ, καὶ ὁρώμενοι, καὶ ἄληκτον τὴν ἀπ' αὐτοῦ εὐφροσύνην καρπούμενοι.

ΤΕΛΟΣ.

granum, siue id sit tritici, aut alicuius ex cæteris, sed deus illi dat corpus, vt voluit, & vnicuique seminum suum corpus. Considera ceu in sepulchris, sulcis obruta semina. Quis ipsis radices inducit? Quis culmũ, folia, spicam atq; tenuißimas aristas? nunquid rerum omnium, opifex? nunquid eius qui omnia fabricauit mandatum? Sic igitur crede & mortuorũ fore, diuina voluntate atq; nutu, resurrectionem: habet enim voluntati cõcurrentem potestatem. Resurgemus itaq; vnitis cum animabus iterum corporibus incorruptibilibus, factis, atq; mortalitatem exutis statuemúrq; coram formidando Christi tribunali. Et tradetur diabolus & dæmones eius, & homo eius, id est Antichristus, & impius & peccatores in ignem æternum, nõ materialem, qualis qui apud nos, sed qualẽ nouit deus. Qui vero bona egerunt, fulgebunt sicut Sol cum angelis in vitam æternã, cum Domino nostro Iesu Christo, videntes eum semper & ab eo visi, atque nunquam desituro, quod ab eo est, gaudio perfruentes.

FINIS.